KRE

# ΔΙΑΤΡΙΒΗ

## ἘΠῚ ΤΗ͂Σ ΚΑΤΑΣΤΑ΄ΣΕΩΣ ΤΗ͂Σ ἘΝΕΣΤΩ΄ΣΗΣ ΚΟΙΝΗ͂Σ ἩΜΩ͂Ν ΓΛΩ΄ΣΣΗΣ

Τοῦ Γ. Κ.

Προτροπῇ ἐλλογίμων καὶ φιλογενῶν ἀνδρῶν, τύποις αὐτὴν ἐκδοθῆναι, συγκαταθεμένου

Δι᾽ ὃ

Καὶ ἐξεδόθη ἰδίᾳ αὐτοῦ δαπάνῃ ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τοῖς ποθοῦσι τῆς κοινῆς ἡμῶν γλώσσης, ὅσον οἷόντε, τὴν διόρθωσιν.

ΒΙΒΛΙΟΘΗΚΗ 828 ΙΩ. ΒΛΑΧΟΓΙΑΝΝΗ
Κρεμυδας
ΑΝΝΗΣ Κ. ΒΗΧΑΣ
ΦΟΡ. ΕΙΣΗΓΗΤΗΣ

Ἐν ΜΟΣΧΑ.
Ἐν τῷ τῆς Κοινότητος Τυπογραφείῳ.
1808.

Δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται.

Съ одобренія Ценсурнаго Комитета, учрежденнаго для Округа Императорскаго Московскаго Университета.

Epitaphe à Mr Demètre, f. de Lépido-Camboli mort à Vienne en 1814.

Du fils de Lépido-Camboli tu foule la cendre,
Helas! ce jeune Sardinapale de Rapsane,
pour satisfaire sa Rodope si cherie et si tendre
oublia ses frères pour se rendre digne amant!
Cendre sacrée du Sauveur du Mont-olympe
tu tressailles à cette triste nouvelle de ton fils,
et pour lui reprocher va pas aux limbes,
mais cherche-le dans la terre où dans son
ame asservie.

Par [illegible]

# ΔΙΑΤΡΙΒΗ

## Ἐπὶ τῆς καταστάσεως τῆς ἐνεστώσης κοινῆς ἡμῶν γλώσσης.

Ἀναλογιζομένῳ μοι θαμὰ, καὶ ταλανίζοντι πρὸς πολλοῖς ἄλλοις καὶ τὴν παντελῆ καταστροφὴν, ἣ περιέπεσε τῆς πατρίου ἡμῶν φωνῆς ἡ εὐγένεια, οὐκ οἶδ᾽ ὅπως ἐπῆλθε προθυμηθῆναι, Ἑλληνικάς τινας λέξεις, εἰ δυνατὸν ἀποσμῆξαι, ὡς εἰπεῖν, τοῦ ἐπιπολάσαντος αὐταῖς εὐρῶτος, καὶ ἐς τοσοῦτον, ὥστ᾽ ἐνίας διὰ τὸ διεστραμμένως καὶ βαρβαροπαρεσχηματισμένως προφέρεσθαι, καὶ ἤτοι ὡς ξένας, ἢ ὡς ὑπὸ τῆς χυδαιότητος καινουργηθείσας λογίζεσθαί τε ἅμα, καὶ ἐξουθενεῖσθαι.

Ἀπόπειραν δὲ τούτου μοι ποιησαμένῳ ἔδοξε καί τινας ἄλλας, εἰ καὶ πολλῷ ὕστερον σχηματισμοῦ λαχεῖν ἐοίκασιν, ὡς οὐκ ἀπηλλοτριωμένας δ᾽ ἄλλως Ἑλληνικοῦ ἰδιωτισμοῦ, παρασυνάψαι· εἰσὶ δ᾽ ἃς καὶ ἐκ τῶν ξένων γλωσσῶν ἐξελληνισθάσας· πρὸς δὲ καὶ ἄλλας τάς, ἃς ὑπὸ τῷδε τῷ †.

σημείῳ κέκρικα καταχωρῆσαι. αἵ περ εἰ καὶ μὴ ξενίζειν δοκοῦσιν, ἔμοι γε δὲ τὰ τῆς παραγωγῆς αὐτῶν ἄδηλα.

Συλλέξας οὖν, ὅσας εἰς μνήμην ἠδυνήθην παραλαβεῖν τὴν ἐμὴν, κατέστρωσα αὐτὰς αὐτοσχεδὸν, μετά τινων ἀναπτύξεων, ὡς ἐμοὶ ἀνυστὸν, οὐχὶ φιλοτιμούμενος κατ᾽ ἐπίδειξιν, (ὅτι πολλοῦ γε δέω τὰ τοιαῦτα φρονεῖν) ἀλλὰ προς διασκεδασμὸν ἐνίοτε τῶν πολλῶν μου ἀσχολιῶν, εἴτε καὶ ἐπ᾽ ἐλπίδι ὠφελείας τινος τῶν μαθητιώντων, αἳ κριθείησαν παρὰ τοῦ κυρίου μου διδασκάλου, καὶ ἄλλων ἐλλογίμων ἀνδρῶν οὐκ ἀσύμφοροι.

Πρὸς τούτοις οὐ τῶν παρέργων, οὐδὲ τῶν κατακορῶν ἐλογισάμην, καί τινας τῶν κοινῶν παροιμιῶν (ἃς ὁ μακαρίτης συμπατριώτης ἡμῶν Παρθένιος ὁ Κατζούλης ἠρανίσατο) προσαρμόσαι, ὅπως οἱ φιλομαθεῖς νέοι, ἐν τῷ μεταξὺ τῆς ἀναγνώσεως, ἔχοιεν εἰς παράθεσιν καὶ τὴν τῶν προγόνων τῶν ἡμετέρων πρὸ οὐκ ὀλίγων αἰώνων διεφθαρμένην προφορὰν· εἴ τι γε καὶ ἐκ ταύτης τῆς παρενθήκης τὸ χρήσιμον (1803)

# Α.

Ἀβανία ἐξ Ἰταλῶν, ἀντὶ τοῦ ἡμετέρυ συκοφαντία.

Ἀβδέλλα κατὰ πλεονασμὸν Ἀττικῶς τῦ ἀρχικῦ α, ἀντὶ τῦ κοινῶς βδέλλα· (ὡς τὸ ἀσαφὶς, ἀντὶ τοῦ σαφὶς) σκώληξ ἐν τοῖς λιμνάζυσι, καὶ συνεςῶσιν ὕδασι γεννώμενος, παρὰ τὸ βδέλλω τὸ πιέζω.

ὡς παρὰ Θεοκρίτῳ (εἰδυλ: Β΄)

„ αἲ αἴ! ἀνιηρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
„ ἐμφὺς, ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;

ἐξ οὗ καὶ ῥῆμα τοπικὸν παρ' ἡμῖν τοῖς Ἠπειρώταις, Ἀβδελλόνω, σημαντικὸν τῦ τὰ διεῤῥωγότα ξύλινα ἀγγεῖα, σιδηρίοις τῷ τῶν βδέλλων σχήματι ὁμοίοις, συνδέω. Ἔτι δὲ, ἀβδελλιάζυν τὰ πρόβατα λέγομεν, διὰ τὴν ἐνσκήπτουσαν αὐτοῖς ἐπιδημικὴν ἀθένειαν, ὅταν ἐν τοῖς ἥπασιν αὐτῶν προσγεννῶνται μέλανες σκώληκες ὡσὰν βδέλλαι.

Ἀγκάρεια ἡ ἀκύσιος, καὶ ἐκ βίας γινομένη ὑπηρεσία, παρὰ τὸ ἀγκαρεύω, τὸ ἀπὸ τῆς Περσικῆς φωνῆς ἐξελληνισθὲν· ἄγγαρος γὰρ παρὰ τῷ Ἡσυχίῳ Πέρσισὶ ὁ ἀχθοφόρος.

καὶ ἐν ταῖς παροιμίαις

„ Ἀνθρώπυ παρακάλεσις ὁμοιάζει σὰν ἀγγάρεια.
„ μικρὸ χωριὸ, πυκνὴ ἀγγάρεια.

Ἀγελάδα, καὶ γελάδα, ἴσως ἀπὸ τῦ ἀγελαία.

Α᾿γκαλιά, οἷον, φέρε μίαν ἀγκαλιὰν ξύλα, παρὰ τὸ ἄγκαλον.

ὡς παρ᾿ Ο῾μήρῳ.

„ τῶν τό τε συνδήσας νεοθηλέος ἄγκαλον ὕλης.

Α᾿γκλυςήριον, ἀντὶ τοῦ κλυςήριον, τὸ ὑποκοριςικὸν τοῦ κλυςὴρ, παρὰ τοῦ κλύζω, τὸ πλύνω. ὡς τὸ.

„ κλυςῆρα προθέμενος, ὑπεξήγαγε τῆς ἑαυτοῦ γαςρὸς τὰ „ σκύβαλα.

Α᾿γκοῦσα ἀντὶ τοῦ δύσπνοια, καὶ ῥήματα ἀγκουσεύομαι, ἀγκομαχῶ, ἴσως ἐκ μεταφορᾶς τοῦ ὄγκου. ἀγκοῦσα καὶ ἀντὶ τοῦ, δυσαρέσκεια.

Α᾿γκυλόνω παρενθέσει τοῦ ν, ἀντὶ τοῦ ἀγκυλόω οὗπερ τὰ σημαινόμενα ζήτει παρὰ τοῖς λεξικογράφοις. καὶ Πλούταρχος ἔφη. „ ἰδών τινα τῶν ςρατιωτῶν τὸ ἀκόντιον „ ἐναγκυλούμενον.“ ἡ δὲ νῦν συνήθεια χρῆται τῷ, ἀγκυλόνω, ἐπὶ τρώσεως, ἢ κεντήσεως μόνον· ἢ τῷ ἐξ αὐτοῦ ἀγκύλωμα, ἀντὶ τοῦ νύξις, τραῦμα, κέντημα.

Αὕτη ἡ ἄχαρις παρένθεσις τοῦ ν, ἡ πολλοῖς τῶν εἰς ᾶω, ἢ ῶω, περισπομένων, ἔτι δὲ καὶ τῶν βαρυτόνων τισὶ ψώρας δίκην προσκολληθεῖσα.

οἷα τὰ ἀκόλουθα, καὶ ἄλλα.

Ἀνασηκόνω, ἀνασκελόνω, ἁπλόνω, ἀποσομόνω, ἀντὶ ἀνασηκόω, ἀνασκελόω, ἁπλόω, ἀποσομόω.
Γανιόνω, διορθόνω, ἀντὶ Γανιόω, διορθόω,
Ἐξερνάω, θολόνω, καρφόνω, κενόνω, ἀντὶ τοῦ
Ἐξεράω, θολόω, καρφόω, κενόω.

Ὀϱγόνω, σκαλόνω, τυπόνω, ςϱόνω, ἀντὶ
Ὀϱγόω, σκαλόω, τυπόω, ςϱόω.
Πεϱνάω, χαλνάω, ἀντὶ πεϱάω, χαλάω.
Φιλιόνω, χϱυσόνω, ἀντὶ τοῦ φιλιόω, χϱυσόω.
Δαίϱνω, δένω, φέϱνω, ἀντὶ δαίϱω, δέω, φέϱω.

ἐκ ἔςιν ἀποκύημα τῆς χυδαιότητος, ἀλλ᾽ ἐν καταχϱήσει παλαιᾶς χϱήσεως δύςηνον λείψανον, παϱόσον καὶ παϱὰ τοῖς πάλαι ἦν ἐσθ᾽ ὅτε τοῦτο φιλούμενον ἐπὶ τῶν Βαϱυτόνων γίνεσθαι, ὡς τὰ ἑξῆς ἐπιμαϱτυϱεῖ.

Δύνω, θύνω, τίνω, πίνω, σβένω, ἀντὶ δύω, θύω,
τίω, πίω, σβέω, καὶ ἄλλα.

Ἀγκωνὴ, ἀντὶ τοῦ γωνία, ἐκ μεταφοϱᾶς τῦ ἐπικαμπῦς καὶ κεκλασμένυ σχήματος τοῦ ἀγκῶνος τῆς χειϱός.

Ἀγκώνας, ἀντὶ Ἀγκὼν, ὄνομα ἐν Ἰταλίᾳ πόλεως, ἀπὸ τῆς θέσεως τοῦ λιμένος, σχῆμα χειϱὸς παϱιςάντος, ὅτω κληθείσης ὑπὸ τῶν κτισάντων, καὶ οἰκισάντων αὐτὴν Συϱακουσίων. οἵτινες φεύγοντες τὴν τυϱαννίδα Διονυσίυ, μετῴκησαν ἐκεῖ.

Ἀγκαλῶ, αἰτιῶμαι, ἔγκλησιν εἰσάγω, ἀντὶ τοῦ ἐγκαλῶ.

Ἀγλίςϱα, καὶ γλίςϱα, ἢ μετὰ τῦ ι ἀπὸ τοῦ γλίσχϱον τὸ λεῖον, καὶ ὀλισθηϱὸν, ἢ μετὰ τῆς οι διφθόγγυ, γλοίςϱα, παϱὰ τὸ γλοιόω, τὸ ὀλισθαίνω.

Ἄγουϱον, ἀντὶ τοῦ ἄωϱον, παϱάκαιϱον, ὀμφακίζον· ὐκ ἔχω εἰπεῖν, τίνες πλεῖον ἁμαϱτάνυσιν, οἱ τὰ α

καὶ ω μέγα προφέροντες, ὡσὰν τὰ α καὶ ο μικρὸν, ἢ οἱ χυδαῖοι μετὰ τοῦ γ, καὶ τῆς ε διφθόγγε, ἀντὶ ἄωρον, ἄγερον λέγοντες, ὡσὰν καὶ τὰ ὠὰ, αὐγά· δοκοῦσι μοι ὅμως οἱ δεύτεροι πλησιέστεροι τῇ τῶν ἀρχαίων προφορᾷ, ἤπερ οἱ πρῶτοι.

Α᾽γροικος, ὁ ἰδιώτης, ὁ ἀπολίτευτος· τὸ δὲ χυδαίας συνηθείας ῥῆμα, ἀγροικῶ, ἀντὶ τοῦ ἐννοῶ, ἢ τοῦ λογίζομαι ἐκλαμβανόμενον, ἀγροῖκον τῷ ὄντι.

Α᾽γρίμι, ἀπὸ τοῦ ἀγρέμιον.

Α᾽γριάδα, ἀντὶ τοῦ, ἀγριὰς ἀγριάδος, ἢ καὶ ἄγρωστις.

Α᾽δετος, παρὰ τὸ, δέω, δεσμῶ, δετὸς καὶ ἄδετος.

Α᾽δειάζω, ἀντὶ τοῦ ἔχω εὐκαιρίαν, παρὰ τὸ, ἄδεια· ἡ δὲ συνήθεια χρῆται τῷ, ἀδειάζω, καὶ ἀντὶ τοῦ κενόω.

Α᾽δράζω, ἴσως ἀπὸ τοῦ δράττομαι, ἀπρὶξ ἔχομαι.

Α᾽δράχτι, ἀντὶ τοῦ ἄτρακτος.

Α᾽δρασκελῶ, ἀντὶ τοῦ περῶ, ἐκτείνων τὰ σκέλη, ἴσως παρὰ τὸ ἀδρεῖν, ἐκτείνειν, αὔξειν, καὶ τὰ σκέλη.

Α᾽θόλωτον, ἀτάρακτον, καθαρὸν, παρὰ τοῦ θολόω, καὶ τοῦ α στερητικοῦ, ἀντὶ τοῦ ἄθολον, ὡς Λουκιανὸς ἔφη. „ μάλιστα δὲ κατόπτρῳ ἐοικυῖαν παρασχέσθαι τὴν γνώμην, ἀθόλωτον καὶ στιλπνῷ.

Αἰθικία Αἴθικες, ἔθνος Ἑλληνικὸν ἐν τοῖς ἀποκλίμασι τοῦ Πίνδου ὄρους οἰκοῦντες τὸ πάλαι. Ὅμηρος ἐν τῷ

καταλόγῳ νεῶν· „τοὺς δ᾽ ἐκ Πηλίȣ ὦσε, καὶ Αἰθίκεσσι πέλασσεν.

καὶ ὁ Σχολιαςὴς „Αἴθικες ἔθνος Θετταλικὸν ὑπερκείμενον „Ἠπείρȣ, ἢ ὥς τινες Μακεδονίας, ἄλλοι δ᾽ εἶπον Περῤαιβίας. ἐυςοχωτέρα ἡ τῶν τρίτων δοκεῖ δόξα. μοῖρα γὰρ Περῤαιβῶν ἦσαν οἱ Αἴθικες· ἴσως καὶ οὐκ ἀπίθανον ὑπολαβεῖν τὴν νῦν Γρεβενῶν λεγομένην ἐπαρχίαν εἶναι αὐτὴν τὴν πάλαι Αἰθικίαν,

Αἰνία μετὰ τȣ̃ ῑ πόλις Περῤαιβῶν κατὰ Στέφανον τὸν Βυζάντιον ἐν τῷ περὶ πόλεων καὶ δήμων, τὸ ἐθνικὸν Αἰνιᾶνες (*) καὶ Ἐνιῆνες, ὡς παρ᾽ Ὁμήρῳ, τροπῇ τῆς ᾱι διφθόγγȣ εἰς ε̄ ψιλὸν διὰ τὸν δάκτυλον, ἐν τῷ καταλόγῳ νεῶν.

„Γȣνεὺς δ᾽ ἐκ Κύφȣ ἦγε δύω καὶ εἴκοσι νῆας
„Τῷ δ᾽ Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε Περῤαιβοί
„Οἳ περὶ Δωδώνην δυσχείμερον οἰκί᾽ ἔθεντο (*)
„Οἵ τ᾽ ἀμφ᾽ ἱμερτὸν Τιταρήσιον ἔργ᾽ ἐνέμοντο.
„Ὅς ῥ᾽ ἐς Πηνειὸν προΐει καλίῤῥοον ὕδωρ.

(* οἱ Αἰνιᾶνες πρὸ τῶν Τρωϊκῶν ᾤκȣν περὶ τὸ Δώτιον πεδίον τὸ ἀφορίζον τὴν περῤαιβίαν ἀπὸ τῆς Θεσσαλίας· Πολλαὶ δ᾽ αὐτῶν (**) γεγόνασι μεταναςάσεις· ὑπὸ Λαπιθῶν γὰρ τὸ πρῶτον ἐξωθέντες, διέβησαν εἰς τὴν Αἰθικίαν· ἐκεῖθεν δὲ μετῴκησαν εἰς τὴν Μολοσσίαν καὶ Κασσιοπαίαν· αὐτῷ δὴ τῷ τῆς Αἰνιάνων αὐτȣ̃ πȣ περὶ τὴν Δωδώνην ξενιτείας χρόνῳ συμπίπτει καὶ ἡ κατὰ τῆς Τροίας Ἑλληνικὴ ἐκςρατεία· (ἐξ αὐτȣ̃ τȣ̃ Ὁμήρȣ τὸ μαρτύριον.)

Κατεχωρήσαμεν ἐνταῦθα καὶ ταῦτα περί τε Αἰθικίας, καὶ Αἰνιάνων τὰ ἀποσπασμάτια, ἵνα εἰδῶσιν οἱ ἐρασμιώτατοί μου συμπατριῶται, καί γε ἐξ αὐτοῦ τοῦ Ὁμήρου, ὅτι καὶ πρὸ τῶν τρωϊκῶν ἡ Ἤπειρος κατοικεῖσθαι ὑπὸ τῶν γειτνιαζόντων αὐτῇ Ἑλληνικῶν ἐθνῶν ἤρξατο.

---

(**) Αἰνιᾶνες ὑπὸ Λαπιθῶν ἐξαναστάντες ᾤκησαν περὶ τὴν Αἰθα„κίαν· (γρ. Αἰθικίαν) εἶτα περὶ τὴν Μολοσσίαν καὶ Κασσιο„παίαν· οὐδὲν δὲ χρηστὸν ἀπὸ τῆς χώρας ἔχοντες, ἀλλὰ καὶ χα„λεποῖς χρώμενοι προσοίκοις, εἰς τὸ Κιῤῥαίων πεδίον ἧκον, Ὀ„νόκλου τοῦ Βασιλέως ἄγοντος αὐτούς. Πλούταρχος· καὶ ἀλλαχοῦ ὁ αὐτός.

„Πλέονες γεγόνασιν Αἰνιάνων μεταναστάσεις· πρῶτον μὲν γὰρ „οἰκοῦντες περὶ τὸ Δώτιον πεδίον, ἐξέπεσον ὑπὸ Λαπιθῶν εἰς „Αἴθικας, ἐκεῖθεν τῆς Μολοσσίας τὴν περὶ τὸν Αραούαν χώ„ραν κατέχον, ὅθεν ὠνομάσθησαν παραῦαι· μετὰ ταῦτα Κίῤῥαν „κατέχον, Ὄνοκλον τὸν Βασιλέα τοῦ θεοῦ προστάξαντος.

---

Ἡ τῶν Πεῤῥαιβῶν χώρα τὸν μέσον ἐπεῖχε τόπον μεταξὺ Ἠπείρου καὶ Θεσσαλίας, Μαγνησίας τε καὶ Μακεδονίας, ἐκτεινομένη ἀπὸ τοῦ Πίνδου ὄρους μέχρι τοῦ Εὐρώπου ποταμίου, τοῦ παρὰ τῷ ποιητῇ Τιταρήσιον, τανῦν δὲ Σαραντόπορον καλουμένου. Εὑρίσκονται δὲ τανῦν ἐν τῇ ἐκτάσει αὐτῆς πόλεις καὶ κωμοπόλεις Βαρβαρικοῖς ὀνόμασι γνωριζόμεναι, οἷαι, Γρεβενὸ, Σάτιστα, Κοζάνη, Τονιγὰ, Βελβεδὸς, πέρβια, καὶ Δομενίκου. Μελέτιος ὁ Ἀθηνῶν ἐγκαταριθμεῖ αὐταῖς

καὶ τὴν Ὀλοοσσόνα τὴν κοινῶς Ἐλασσόνα. Ὁ δὲ Στέφανος πόλιν Μαγνησίας ταύτην εἶναι φησί.

Αἶρα, ἡ τοῦ σίτου διαφθορὰ· παρ᾽ ἄλλοις δὲ ἦρα λέγεται.

Ἀκαμάτης, ὁ ἄνευ καμάτου ζῆν ἐθέλων, ἀντὶ τοῦ ἀκάματος, παρὰ τὸ κάμνω, τὸ κοπιῶ, καὶ τὸ ᾱ στερητικόν.

καὶ ἐν τῇ παροιμίᾳ.

„ὁ ὀκνὸς μακρᾶ παγαίνει, καὶ ὁ ἀκαμάτης διπλᾶ δουλεύει.

Ἀκατάπειστος, ὁ μὴ πειθόμενος, ὁ ἰσχυρογνώμων παρὰ τὸ, καταπέπεισμαι, καὶ τὸ ᾱ στερητικόν.

Ἀκέριο, καὶ βαρβαρικωτέρως ἀκέργιο, σῶον, ὁλόκληρον, ἀνελλιπὲς, ἀντὶ τοῦ ἀκέραιον.

Ἀκοπάνιστον, καὶ ῥῆμα τῆς συνηθείας οὐκ ἄκομψον, κοπανίζω, παρὰ τὸ κόπανον, κοπανιστόν καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀκοπάνιστον.

Ἀκόνι, ἀκόνιον ὑποκοριστικῶς φαμὲν, τῷ σχήματι μέντοι, ἀλλ᾽ οὐ καὶ τῷ σημαινομένῳ, ἀντὶ τοῦ πρωτοτύπου, Ἀκόνη. Τοιουτοτρόπως τὰ πλεῖστα τῶν πρωτοτύπων ὀνομάτων μετεσχηματίσθησαν ὑπὸ τῆς συνηθείας εἰς ὑποκοριστικὰ οὐδέτερα.

οἷον,

Ἀσήμιον, γεφύριον, ἀντὶ τοῦ ἄσημος, γέφυρα· Δαδὶ δαδίον ἀντὶ, δᾶς, Δαυλὶ δαυλίον, ἀντὶ τοῦ δαυλός· Καλαπόδιον, Καμάκι, Κανίστριον, λέπι λέπιον, μανιτάρι, μουστάκιον· ἀντὶ Καλόπους, κάνιστρον, λέπος, μανίτης, μύσταξ.

Παλληκάριον, πριώνιον, πωρὶ πωρίον. ἀντὶ πάλληξ, πρίων, πῶρος.
Σκιλλίδιον, Σωληνάριον, συκώτιον, συνάχιον, τομάριον, χαλίκι, ψαλλίδιον, ἀντὶ σκελλὶς, σωλὴν, συκωτὸν, συνάγχη. Τόμαρον, χάλιξ, ψαλὶς, καὶ ἄλλα πάμπολλα.

Ἡ τοιαύτη κατάχρησις ἔλαβέ τινας ἀρχὰς ἀπὸ τῶν ἀρχαίων κωμικῶν· ἐν τῇ παρακμῇ δὲ τοῦ Ἑλληνισμοῦ εἰσέφρησε καὶ εἴς τινας τῶν λογογράφων· ἔκτοτε δὲ ἡ εἰς τὸν χυδαϊσμὸν κατὰ μικρὸν καὶ ἀνεπαισθήτως ῥέψασα συνήθεια, τὰς ἀφορμὰς τῆς ἀθυρογλωττίας ἤδη εἰληφεῖα, οὐ πέπαυται παραχαράσσουσα παντάπασιν τὴν τοῦ ὑποκοριστικοῦ κυριότητα· ἀντ᾽ αὐτοῦ δὲ κακοζήλως ἐξεῦρε νέον ὑποκορισμοῦ σχηματισμὸν, παιδάκιον, ποταμάκιον, χορταράκιον, παραθυράκιον, καὶ ἄλλα τοιαῦτα λέγουσα.

Ἀκουμπίζω, ἢ ἀκουμπῶ, Λατίνων τὸ ῥῆμα· ἀκούμπο γὰρ παρ᾽ αὐτοῖς, ἥ φησὶ Βαρῖνος, τὸ παρ᾽ ἡμῖν ἀναπίπτειν, καὶ τὸ ὑπερείδεσθαι.

καὶ ἐν τῇ παροιμίᾳ.

„ Τυφλὸς σ᾽ὸν τοῖχ᾽ ἀκούμπισε, παρέκει κόσμος δὲν ᾽ναι „

Ἀκούρασος, ἀντὶ ἀκόρεσος, ὁ μὴ ἀποκάμνων· Κόρος γὰρ οὐκ ἐπὶ βρωμάτων μόνον, ἀλλὰ καὶ ἐπὶ μόχθου καὶ κόπου λέγεται.

ὡς παρ᾽ Ὁμήρῳ (Ἰλ: μ᾽)

„ Ἐς δ᾽ ἐνόησ᾽ Αἴαντε δύω, πολέμου ἀκορήτω

Ἀκράτητος, ἀκράτητος, ἄσχετος.

Α'κρίβεια· τούτῳ τῷ ὀνόματι τανῦν καταχρηϛικῶς ἐννοῦνται ἤ, τε ἀκριβὴς σπάνις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, τουτέϛιν ἡ ἄκρα σπάνις· καὶ ἡ τούτων, πολλοῦ ἐν τοιαύτῃ περιϛάσει τιμωμένων, ἀγορασία· ἀκρίβεια δὲ κυρίως ἐϛὶν ἡ ἀκριβὴς κατάληψις, ἢ σκέψις, ἢ προσοχὴ, ἢ σαφήνεια, ἢ ἐπιμέλεια, ἢ περιέργεια· ἀκριβὸν ἐν καταχρήσει καὶ τὸν ἀκριβῶς φειδωλὸν ἡ συνήθεια καλεῖ· καὶ ἐν ταῖς παροιμίαις.

„ὁ καιρὸς πουλεῖ τὰ ξύλα, κ' ἡ ἀκρίβεια τ' ἀγοράζει.

„ὁ ἀκριβὸς καὶ ὁ ψεύτης γλήγωρα κάμνουν παζάρι.

Α'κρίζω, καὶ ἐξακρίζω, πολυσήμαντα ἦσαν παρὰ τοῖς πάλαι· τανῦν δὲ τὸ, ἐξακρίζω, σημαντικὸν τοῦ, ὅταν τις ἀπ' ἄκρου τινος γνωρίσῃ μακρόθεν τὸ ζητούμενον, ἢ τὸν προσδοκώμενον, ἢ ἔφοδόν τινα· λέγεται δ' ἔτι, ὅταν τις κοινώσασθαι θέλων καταμόνας ἄλλῳ τινὶ, ὅ, τι δήποτε βούλεται, προσκαλεῖται αὐτὸν εἰς ἄκραν τινά.

Α'λαζονεύομαι, ὑπερηφανεύομαι· ἡ δὲ χυδαϊκὴ παρ' ἡμῖν συνήθεια κατ' ἄγνοιαν ἐκλαμβάνει τὸ ἀλαζονεύομαι, ἀντὶ τοῦ περίλυπος γίνομαι.

Α'λλαλαπάλλαλα, καὶ τοῦτο πάντῃ βεβαρβαρωμένως προφέρει, ἀντὶ τοῦ ἀλλεπάλληλα.

Α'λέθω, ἀντὶ ἀλήθω· ἀλεσμένον ἀναυξήτως, ἀντὶ ἀληλεσμένον.

Α'λησμονῶ καὶ λησμονῶ, ἀπὸ τοῦ λήθομαι, ὁ παρακείμενος λέλησμαι, ἐξ οὗ λήσμων, καὶ ἐκ τούτου τὸ λησμονῶ.

Ἀλοιφὴ, ἣ γραπτέον μετὰ τῆς α διφθ: ἀλειφὴ παρὰ τὸ, ἄλειφαρ, στέαρ, μύρον, χρίσμα, ἔλεον.

Ἀλυκτάει φαμὲν, ἀντὶ ὑλακτεῖ· καὶ Κρῆτες ἀλυκτεῖ ἔλεγον.

† Ἀλυσίβα παρ' ἡμῖν, ἀλυσία δὲ παρ' ἄλλοις· δραστικωτάτην ἔχει ἡ ἀλυσίβα τὴν ἐνέργειαν ἐπὶ τῷ διαλύειν, καὶ διαχωρίζειν τὰ θολά.

Ἄμβραξ κύριον ὄνομα, υἱὸς τοῦ Θεσπρωτοῦ, ἐξ οὗ Ἀμβρακεῖς Ἠπειρωτικὸν ἔθνος· καθά φησι καὶ Εὐδοκία ἡ Βασίλισσα.

† Ἀμὴ, ἀντὶ τοῦ ἀλλὰ, ἢ ὅμως, ἢ δὲ· οἷον, καλὰ οἱ ἄλλοι, ἀμὴ καὶ σύ;

„ὅλοι ἦρθαν, ἀμ' ἐσὺ διατὶ ὄχι;

Ἀμπάνω, καὶ ἀμπώχνω φαμὲν, ἀντὶ τοῦ ἀπώθω, τὸ ἀποθοῦμαι, παρακρούω, ἀποσείομαι, ἢ παραγκωνίζομαι.

Ἀμάνι, ἀντὶ τοῦ ἀκμώνιον, τὸ ὑποκοριστικὸν τοῦ ἄκμωνος.

Ἀναγουλιάζω, ἀντὶ τοῦ ναυτιῶ, ἀπὸ τοῦ, ἄνω, ἐπιῤῥήματος, καὶ τῆς Ἰταλικῆς ἴσως λέξεως, γόλα ὁ λάρυγξ· ἀναγούλια, ἀναγούλιασμα, ἢ ναυτίασις.

Ἀναβροχία, καὶ ἀναβροχιὰ, ἀντὶ τοῦ ἀνομβρία· εἰς τὴν ἄναλον λέξιν, ἀβροχία, τὴν κατὰ τοὺς τῶν Πτολεμαίων χρόνους, παρὰ τὸ βρέχειν καὶ τὸ α στερητικὸν σχηματισθεῖσαν, ἡ μετὰ ταῦτα χυδαϊκὴ συνήθεια πλεονάσασα καὶ δεύτερον στερητικὸν με-

τα παρενθέσεως τ8 ν ἀναβροχίαν λέγει, κατα κακόζηλον μίμησιν ἀρχαίας χρήσεως τ8 αν διὰ τὴν εὐφωνίαν, κατὰ τα, ἀναίμακτος, ἄναπτος, ἄναιμος. Ἀλλά γε καὶ αὐτὸ τὸ, βρέχειν, οὐχ εὕρηται παρὰ τοῖς ἀρχαίοις ἐπὶ ὑετ8 ἐκλαμβανόμενον· κυρίως, δὲ ἐπὶ τῶν ὕδατι ὑγραινομένων ἐλέγετο· καὶ τοῦ Ξενοφῶντος τὸ μαρτύριον, ὧδέπως εἰπόντος·

„ πάντες μὲν οἱ ποταμοὶ, ἢν πρόσω τῶν πηγῶν ὦσι, προϊ8σι
„ δὲ πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται, οὐδὲ τὸ γόνυ βρέ-
„ χοντες.

μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν ὑπομεθυόντων, ὡς παρ' Ἡλιοδώρῳ· „ μελῆσαι δέμοι καὶ ὑποβεβρεγμένον αὐτὸν κα-
„ τακλῖναι παρασκευάσαι.“ καὶ ἡ συνήθεια, ἀναυξήτως καὶ ἀποβολῇ τοῦ γ βρεμένον τὸν ὑπομεθύοντα καλεῖ, ἀντὶ βεβρεγμένον.

Ἀναδεύω, ἀναδεύω, φυρῶ.

Ἀνάκατα, ἐπίῤῥημα τῆς συνηθείας, σύνθετος παρὰ τῶν, ἄνω, καὶ κάτω ἐπιῤῥημάτων ἐξ 8 καὶ ῥῆμα, ἀνακατεύω, τὸ ἀναδεύω.

Ἀνάλαιμα, ἐπίῤῥημα ἰδιωτικὸν, σύνθετον καὶ αὐτὸ ἀπὸ τ8 ἄνω, καὶ τ8 λαιμὸς· λέγεται γὰρ, ὅταν ὑπὸ πολυποσίας ἀναδίδῃ διὰ τ8 λαιμ8 τὰ βρωθέντα· ἔτι δὲ καὶ ἐπὶ ἀρᾶς κατὰ τῶν ἀτάκτως ἐσθιόντων ὡς τὸ, ἀνάλαιμα νὰ σ8 γένῃ.

† Ἀνασαίνω, ἀντὶ τοῦ ἀναπνέω, καὶ ἀντὶ τ8 ἄνεσιν λαμβάνω.

Ἀνασηκόνω, παρενθέσει τ8 ν, ἀντὶ ἀνασηκόω, ἀνορθῶ.

Α᾽νάμερα ἐπίῤῥημα τῆς συνηθείας, παραχώρησιν ἐκ διαςήματος σημαῖνον· καὶ ῥῆμα ἀναμερῶ, ἀντὶ τοῦ παραμένω.

† Α᾽νάντελα, ἦν ποτε τοῦτο παρὰ τοῖς προγόνοις ἡμῶν ἐν χρήσει, οὐκ οἶδα δὲ, εἰ ἔτι αὐτῷ χρῶνται οἱ παρ᾽ ἡμῖν χωρικοὶ, ἀντὶ τοῦ, ἀνάρμοςα, ἢ ἀκατάλληλα, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ ὅλα μας ἀνάντελα, καὶ ὁ γάμος μας τετράδῃ.

ταὐτόσημον τὸ ἀνάντελα τῷ παρὰ Θεοκρίτῳ (εἰδ: ά) ἔναλλα.

„ πάντα δ᾽ ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,

Α᾽νάποδα, ἀναποδιάζω, ἀναποδίζω, ἀπὸ τῆς ανα προθέσεως, τὴν εἰς τὸ πίσω κίνησιν, ἢ ἀντιςροφὴν σημαινέσης καὶ τȣ, ποδιάζω, τὸ ὑποςρέφω, ὡς παρὰ Λȣκιανῷ „ ἐπι μανδραβȣλȣ χωρεῖ τὸ πρᾶγμα, καθ᾽ „ ἑκάςην, ὡς εἰπεῖν, τὴν ἡμέραν ἀποσμικρυνόμενον, ϗ εἰς τοὐπί„ σω ἀναποδίζον.“

Α᾽νάσκελα, ἐπίῤῥημα τῆς συνηθείας, σημαντικὸν τοῦ ἄνω τὰ σκέλη, ἀπὸ τοῦ ἀνασκελόω.

Α᾽νασκȣμπόνω, λέγεται, ὅταν τις ἀνέλκων τὰ τοῦ ἱματίȣ πτερύγια, προσάπτῃ τῇ ζώνῃ, ἢ καὶ ἁπλῶς, ὅταν ἀνασύρῃ τὰ κάτω τοῦ ἱματισμȣ· παρασχηματισθῆναι δοκεῖ μοι ὑπὸ τῆς χυδαιότητος παρὰ τὸ ἀνακομπέω, τὸ ἀνυψῶ, ἀνασηκόω· παρενθέσει δὲ τοῦ ν καὶ σ, καὶ τροπῇ τȣ σκο εἰς σκου, ἀνακομπόνω, ἀνασκομπόνω, καὶ ἀνασκουμπόνω.

Ἀνατριχιάζω, χαριέντως πάνυ ἐσχημάτισαι ὑπὸ τῆς συνηθείας παρὰ τὸ ἀνορθοῦσθαι τὰς τρίχας ὑπὸ φρίκης.

κατὰ τὸ παρ' Ὁμ: (Ἰλ ώ.)

„ . . . . . . σὺν δὲ γέροντι νόος χύτο, δάδιε δ' αἰνῶς.
„ ὀρθαὶ δὲ τρίχες ἔςαν ἐν γναπτοῖσι μέλεσσι.

Ἀνηφορίζω, ἀνηφορῶ, ἀνήφορος, ὁ ἀνωφερὴς, καὶ ἀνάντης τόπος, ἀντὶ τοῦ ἀνάφορος, παρὰ τὸ ἄνω-φορεῖν· οὗπερ ἐναντίον τὸ κατήφορος, τὸ κατωφερὲς, κάταντες, πρανὲς παρὰ τὸ κάτω φορεῖν· καὶ ἐν ταῖς παροιμίαις.

„ τῆς γρηᾶς τὸν ἔπαινον ὁ ἀνήφορος τὸν δάχνει.
„ ηὗρεν ὁ κουτζὸς κατήφορον.

Ἀντάμα, ἀντὶ τοῦ ὁμοῦ, παρά τισι λέγεται, ἐντάμα, ἀπὸ τοῦ, ἐν τῷ ἅμα. αἱρετέον τὸ δεύτερον ὡς κυριώτερον.

† Ἄντα, δυςήνου παρ' ἡμῖν χρήσεως ἐπίῤῥημα, ἀντὶ τοῦ ὅταν, κατ' ἄγνοιαν τῆς τοῦ ἀρχαίου, Ἄντα, σημασίας, λεγόμενον.

καὶ ἐν τῇ παροιμίᾳ.

„ ἄντα διψάει ἡ αὐλήσου, ἔξω νερὸν μὴ χύνῃς

† { Ἀντάρα, ἀντὶ, ὁμίχλη, γνόφος.
Ἀντζάλα, ἀντὶ σκοτοδινίασις, ἢ ἴλιγγος, ἢ περισπασμός. }

† Ἀντεριοῦμαι καὶ ἀντερεύομαι, ἀντὶ τοῦ συςέλλομαι.

Ἀντικοττοῦν τὰ Βράχη, ἢ τὰ δάση, ἀντὶ τοῦ ἀντηχοῦσι, παρὰ τὸ κοττεῖν, καὶ τὴν ἀντὶ πρόθεσιν. ἐν χρήσει παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς αὕτη ἡ φράσις συνωνύμως τῷ παρὰ τῇ ἀνθολογίᾳ.

ἀν' ὀργάδα μέλπεται ἀχώ.

Ἀπαγνάντια, ἴσως Βαρβάρῳ παρατροπῇ, παραχηματισθὲν ἀπὸ τοῦ ἀπέναντι.

Ἀπαλλοῦ, ἀπὸ τῆς ἀπο προθ: καὶ τοῦ ἄλλη ἐπιῤῥήματος.

† Ἀπαντοχὴ, ἀπαντέχω. ἀνεπάντεχο, ἀντὶ ἐλπὶς, ἀνέλπιςον.

Ἀπαρμιάζω, ἴσως ἀντὶ ἀποριάζω, ἤγουν καθ' ὑπεροχὴν ἀσθενείας, ἢ ἀπορίας ἀφίημι, παραιτῶ.

Ἀποθαίνω, ἀντὶ τοῦ ἀποθνήσκω. φίλον τῇ συνηθείᾳ πολλὰ τῶν ῥημάτων σχηματίζειν ἢ μεταχηματίζειν εἰς αινω, οἷον, ζεςαίνω, χορταίνω παρὰ τὰ, ζεςὸς, καὶ χόρτος· λαβαίνω, τυφλαίνω, ἀντὶ τοῦ, λαμβάνω, τυφλόω. καὶ ἄλλα.

Ἀποθέτω, ἀντὶ τοῦ ἀποτίθημι, ταμιεύομαι. ἀποθεμένο φαμὲν ἀντὶ τοῦ ἀπόθετον, τὸ ταμιευόμενον, ἐξ αὐτοῦ τοῦ, ἀπόθετον, παρῆκται τὸ, ἀποθέτω.

Ἀπεικάζω, ἀντὶ τοῦ κατανοῶ τὰ νῦν ἐκλαμβάνεται, ἀπείκασα ἀντὶ τοῦ κατενόησα. Εἰκάζω καὶ ἀπεικάζω παρὰ τοῖς πάλαι τὸ, οἴομαι, τεκμαίρομαι, ἢ

ςοχάζομαι· ὡς παρὰ Θουκυδίδη „εἰκάζεν δὲ χρὴ καὶ ταύτη τῇ ςρατιᾷ, οἷα ἦν τὰ πρὸ αὐτῆς“ ἔτι δὲ καὶ τὸ ὁμοιῶ, καθὰ Λουκιανὸς ἔφη „ὁπότε γὰρ συνῆν μοι ὁ πατὴρ ὁ σὸς, Τράγῳ ἑαυτὸν ἀπείκασε.

Ἀπερνάω. πλεονασμῷ Ἀττικῷ τοῦ α καὶ παρενθ: τοῦ ν ἀντὶ περάω.

Ἀπίδι ἀπίδιον, ἀντὶ ἄπιον, Ἀπιδιὰ ἀντὶ ἄπιος.

Ἁπλόνω παρενθέσει τοῦ ν, ἀντὶ ἁπλόω, τείνω, τανύω.

Ἀπόκαμα, ἀπείρηκα, οἷον ἀπόκαμα δουλεύοντας, ἀπείρηκα ἐργαζόμενος, ἢ κοπιῶν· τὸ, ἀπόκαμα, παραφθορά ἐςιν ἢ τοῦ ἀποκέκαμα (ἀναυξήτως γὰρ ἡ συνήθεια ἐκφέρει τοὺς παρακειμένους) ἢ τοῦ δευτέρου ἀορίςου ἀπέκαμον· τὸ κάμνω ῥῆμα πρὸς ἄλλοις σημαινομένοις σημαίνει καὶ τὸ πάσχω, ἢ κοπιῶ. προσλαμβάνον δὲ καὶ τὴν απο πρόθεσιν, σημαντικὸν γίνεται τοῦ ἀπειπεῖν, ἢ ἀπαγορεῦσαι, ὡς παρὰ Χρυσοςόμῳ „μηδὲν ὑμᾶς θορυβείτω, μηδὲ ἀποκάμνειν ποιήτω.

καὶ ἀλλαχοῦ.

„ἀμὴ ἀπέκαμες μαθεῖν αὐτοῦ τὴν πρόνοιαν· καὶ ἑτέρωθεν· καὶ Πλούταρχος ἔφη „ὥςε Μαρκέλλῳ ἀποκαμεῖν μαχόμενον.

Ἀπόκαμα τὴν δουλειάν μου, ἔτι φαμὲν, ἀντὶ τοῦ ἐτελείωσα, ἢ ἐξειργασάμην· τὸ ἀπόκαμα ἀντὶ τοῦ ἀπέκαμον ἐξειργασάμην παρὰ τὸ κάμνω, τὸ ἐργάζομαι,

καὶ τὴν ἀπὸ πρόθεσιν, ἐκπληρώσεως ἐνταῦθα σημαντικήν.

Ἀντημέβω, ἀντὶ τοῦ ἀνταμείβω.

Ἀποκοτῶ, ἀποτολμῶ παρὰ τὸ, κότος, καὶ τὴν ἀπο, πρόθεσιν· κότος γὰρ πρὸς ἄλλοις σημαινομένοις αὐθαδείας τε, καὶ τόλμης σημαντικός· ἐξ οὗ ἀποκοτιὰ, ἡ θρασύτης.

Ἀποσθένω, ἀπαγορεύω, ἀποκάμνω· ἴσως παρὰ τοῦ ἀπὸ ἐπιῤῥήματος, καὶ τοῦ, σθένος ἡ δύναμις.

Ἀποσομόνω, παρενθέσει τοῦ ν ἀντὶ ἀποσομόω, φιμονῶ, ἐπιστομίζω, ἀποφράττω τὸ στόμα τοῦ λέγοντος.

Ἀποστοματίζω, τὸ ἀπὸ μνήμης λέγω· διετήρησεν ἡ συνήθεια καὶ τοῦτο· καὶ Πλούταρχος ἔφη „τοῦτο δὲ καὶ „Σιβύλλαν ὕστερον ἀποστοματίσαι πρὸς τὴν Πόλιν ἱστοροῦσιν ἀποφ„θεγξαμένην.

Ἀποτάζω ἢ ποτάζω· οἷον, δὲν ποτάζει τίποτε, ἀντὶ τοῦ, οὐδὲν κέκτηται· ἴσως γραπτέον, πωτάζω, μετὰ τοῦ ω, παρὰ τὸ ἀρχαῖον ἄχρηστον ῥῆμα, πῶ, τὸ κτῶμαι· ἐξ οὗ τὸ κατὰ μέσην διάθεσιν Ἀττικοῖς, πῶμαι, ὁ μέλλων πάσομαι, ὁ παρακείμενος πέπαμαι. οἷον, οὐδὲν πεπάμεθα, οὐδὲν ἐχήκαμεν, ὡς παρὰ Ξενοφῶντι. „ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χειμῶνα στρατευόμενοι, καὶ νύκτα „καὶ ἡμέραν, οὐδὲν πεπάμεθα, ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει „καὶ Σεύθης ἰδίᾳ μὲν ἐκεῖνον πεπλούτικεν, ἡμᾶς δὲ ἀποστερεῖ „τὸν μισθόν.

Ἀπόψε, ἀντὶ τοῦ ταύτῃ τῇ νυκτὶ, ἀπὸ τῆς ἀπο προθ. καὶ τοῦ ὀψέ.

Ἀράζω, ἀντὶ τῦ προσορμίζω οἷον, ἄραξε τὸ καράβι, ἴσως ἀντὶ τῦ ἀράσσω· οἱ γὰρ Αἰωλεῖς τὰ εἰς σσω διὰ τῦ ζω ἐξέφερον.

Ἀρέγει φησιν ἡ χυδαϊκὴ συνήθεια, ἀντὶ τῦ ἀρέσκει, ἴσως ἐξαπατηθεῖσα ἀπὸ τῆς ὁμοιοφωνίας τῦ, Ἀρήγω, ἧτινος τὴν σημασίαν παντάπασιν ἀγνοεῖ· καὶ ἀρεσιὰν καλεῖ τὴν ἀρέσκειαν, ἴσως παρὰ τὸ ἀρέσαι· οἷον, δὲν εἶναι τῆς ἀρεσιᾶς μυ.

Ἀραμποσίτι, ἤγυν Ἀραβικὸς σίτος, ἴσως ὁ παρὰ Ξενοφῶντι Μελίνη λεγόμενος, ὡς ἐν τοῖς. — „τέλος „δὲ μικροὶ ὀχετοὶ, ὥσπερ ἐν τῇ Ἑλλάδι ἐπὶ τὰς Μελίνας. καὶ ἀλλαχῦ. „πολὺ δὲ, σήσαμον, καὶ Μελίνην, καὶ κέγ„χρον καὶ πυρούς, καὶ κριθὰς φέρει.

Ἀργάτης, ἀντὶ ἐργάτης· καὶ ἐν τῇ παροιμίᾳ.

„ὁπῶχει ἀμπέλι, ἂς βάλλ᾽ ἀργάταις.

Ἀργὸς, νωθρὸς, ἢ ἀνειέργητος, ἢ βραδύς· ἐξ ὗ ἡ συνήθεια ἐσχημάτιτε καὶ ῥῆμα, ἀργῶ, ἀντὶ τοῦ βραδύνω οἷον, τί τόσον πολὺ ἄργησες· ἀργὸς παρὰ τοῖς ἀρχαίοις καὶ ὁ λευκός.

ὡς παρ᾽ Ὁμήρῳ (Ὀδ: ό.)

„ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
„Αἰετός, ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον
„ἥμερον ἐξ αὐλῆς.

καὶ παρὰ Θεοκρίτῳ.

„Ἱεροὶ Ἥλιξ, χροιὰν δ᾽ ἔσαν ἠΰ τε Κύκνοι
„Ἀργῆται, πᾶσι δὲ μετέπρεπον εἰλιπόδεσσιν.

Α'ργοὶ λίθοι ἐλέγοντο καὶ αἱ ςῆλαι, ὡς ἐν τῷ τέλει ὑπὸ τῷ δε τῷ ∀ σημείῳ περὶ ςηλῶν τε, καὶ ἀργῶν λίθων διεξοδικωτέρως ῥηθήσεται.

Α'ράδα, ἀραδικῶς, ἀραδιάζω, ἴσως παρῆκται παρὰ τὸ ἀράρω, τὸ ἁρμόζω· Α'ράδα, ἀράδα ἐπιῤῥηματικῶς Φαμὲν, ἀντὶ τῦ ςιχηδὸν, κατὰ τάξιν. Α'ράδα, ςίξ ςρατιωτική. Α'ράδα ἀντὶ τῦ ἀκμὴν, οἷον, ἀράδα περνῦν τὸ ποτάμι, ἤτοι ἐν αὐτῇ εἰσὶ τῇ τῆς διαβάσεως ἀκμῇ, κατὰ τὸ παρὰ Ξενοφῶντι. — „καὶ τὰ μὲν σκευοφόρα τῶν Ἑλλήνων, καὶ ὁ ὄχλος ἀκμὴν διέ- „βαινεν.“ Α'ράδα, καὶ τὸ τῆς τάξεως ἀκόλυθον. ὡς καὶ ἐν ταῖς παροιμίαις.

„με τὴν ἀράδασου, καὶ ἂς ἦσαι καὶ παππᾶς.

„μὲ τὴν ἀράδα ἔρχεται τὸ καυκί.

Α'ρέντα, λέξις τῆς παρ' ἡμῖν συνηθείας, σημαντικὴ ὁρμῆς, ἢ δρόμυ. Α'ρέντα παρὰ τοῖς ἀρχαίοις τῆς Α'Φροδίτης ἐπίθετον, ὕτως ἴσως ἐπικληθείσης διὰ τὸ τῶν ἐραςῶν πρὸς τὰ ἀΦροδίσια ὁρμητικόν.

Α῾ρματα, ἀντὶ τῦ ἕρματα. πολλὰ δὲ εἰσὶ τὰ τῦ ἕρματος σημαινόμενα· Ἕρματα ςρατῦ, ὁ ὁπλισμὸς, καὶ πᾶσα ἡ ἀποσκευὴ αὐτῦ· καθὰ καὶ τὰ νῦν λέγομεν, ἁρμάτωσε τὸ ςράτευμά τυ, ἀντὶ τῦ ἡρμάτισε· καὶ ἁρματωμένος ὁ ἡρματισμένος, ὐχ ὡς ὁπλοφορῶν μόνον, ἀλλ' ὡς ἔχων καὶ πᾶν, ὅ,τι ἀνήκει τῷ ςρατιώτῃ· καὶ ἕρματα πλοίου, τὰ αὐτῷ συντείνοντα, ὡς παρ' Ο῾μήρῳ.

„ὑπὸ δ' ἕρματα μακρὰ τάνυσαν.

καὶ Πολυδεύκης ,, ἡρματισμένη, καὶ ἀνερμάτιςος ναῦς· καθὼς καὶ ἡμεῖς φαμὲν — " άρμάτωσεν ὁ καπετάνιος τὸ καράβι τȣ, ἀντὶ τοῦ ἥρματισεν· ἐλέγετο καὶ πόλεως καὶ οἴκȣ ἕρματα, ἤγȣν οἱ καλλωπισμοὶ, καὶ ὁ ςηριγμὸς, καθὰ ἢ νῦν λέγεται· ἁρματωμένο σπήτι, καὶ ἁρματωσιὰ τȣ̃ σπητίȣ.

κατὰ τὸ παρ' Ὁμ. (Ὀδ: ψ.)

,, Ἡμᾶς δ' ἕρμα πόληος ἀπέκτιμεν, οἳ μέγ' ἄριςοι
Κȣ́ρων ἐν Ἰθάκῃ.

ἐν χρήσει τοῦτο παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς καὶ ἐπὶ τῶν καλῶς ἐςαλμένων γυναικῶν, ὡς τὸ — ,, ἡ (Δᾶνα) ἁρματώθηκε, κ' ἔβγῆκε ςὸ χορό· καθὼς καὶ τὸ πάλαι τὰ πρὸς καλλωπισμὸν τῶν γυναικῶν συντείνοντα ἕρματα ἐλέγετο, ὡς τὸ παρὰ Βαρίνῳ. ,, καθὰ καί τις γυνὴ ἐκαλλωπίζετο ὑπ' αὐτῶν, οἷα τινῶν ἑρμά- ,, των, ἃ δὴ κόσμȣ γυναικείȣ εἶδος εἶναι οἱ παλαιοὶ λέγȣσιν " Ἔτι δὲ καὶ ἐπὶ ἀνδρῶν ςολισμȣ̃, ὡς καὶ ἐν ταῖς παροιμίαις.

,, τȣ̃ νιȣ̃ πρέπȣν τὰ νιάτα, καὶ τȣ̃ γέρȣ ἡ ἁρμάτȣ.
,, τȣ̃τ' ἡ πῆττα, κ' ἡ κανάτα μ' ἔκαμαν μὲ τέτοια ἁρμάτα.

ἤγȣν ῥακενδύτην, ὅτι τὸ ἐνταῦθα, ἁρμάτα, ςολισμὸν κατ' εἰρωνείαν σημαίνει.

Εἴποι τις ἂν, ὅτι τὸ ἅρματα ἐν τῇ κοινῇ ἡμῶν χρήσει, ἀντὶ πολεμικῶν ὅπλων ἐκλαμβανόμενον, ἐξ Ἰταλῶν ἐςί· δοτέον τȣ̃το κατ' ἄγνοιαν τῆς χυδαιότητος· παράλογον δ' ἂν εἴη, καὶ γελοιοδέξατον, εἰ καὶ τ' ἄλλα τὰ τȣ̃ ἡμετέρȣ ἕρματος σημαινόμενα,

(οἷα τὰ ἀνωτέρω) νομιθείησαν ὡς ἀπὸ τῦ Ἰταλικῦ Φονικῦ, arme ἄρμαι, παραγόμενα.

Πιθανὸν δὲ, ὅτι ἡ τῶν Φωνῶν, τῦ τε ἡμετέρȣ Ἕρμα, καὶ τῦ Λατινικῦ, arme, προσομοίωσις ἐν τῇ πρὸ πολλῶν αἰώνων διαφθορᾷ τῦ Ἑλληνικῦ ἰδιωτισμῦ, τῇ ὑπὸ τῆς τῶν τε Ῥωμαίων, καὶ τῶν Ἑλλήνων κατὰ διαφόρȣς καιρȣ̀ς, καὶ τρόπȣς ἐπιμιξίας αὐτῷ προσγενομένῃ, ἀπετέλεσε παντελῆ τῦ ἡμετέρȣ ἕρματος τὴν λήθην.

Πιθανώτερον δὲ εἰπεῖν, ὅτι μία καὶ ἡ αὐτή ἐστιν ἡ λέξις, καὶ ὅτι οἱ Ἰταλιῶται, ὡς γειτνιάζοντες τὸ πάλαι τοῖς ἐν τῇ Ἰταλίᾳ οἰκήσασιν Ἕλλησι, καὶ συναναστρεφόμενοι αὐτοῖς, ὥσπερ ἄλλας παμπόλλȣς Ἑλληνικὰς λέξεις, παρέλαβον δὴ κᾀυτὴν, ἐκλατινίσαντες κατὰ μετάπτωσιν τῦ ἀρχικῦ ε εἰς α· καὶ ταύτην τὴν εἰκασίαν παριστᾶσιν ἥτε προσομοίωσις τῶν Φωνῶν, καί τινες ἄλλαι ταυτοσημασίαι, οἷαι αἱ κατιῦσαι·

Ἕρμα ὀδυνάων παρ' Ὁμ: (Ἰλ': Δ) τὸ βέλος·

„ἐκ δ' ἕλετο ἰὸν

„ἀμβλῆτα, πτερόεντα, μελεναίων, ἕρμ' ὀδυνάων.

Arme, ἄρμαι δὲ παρ' αὐτοῖς πᾶν εἶδος ὅπλȣ.

Ἕρματα ἐλέγετο παρὰ τοῖς ἡμετέροις τάτε στηρίγματα, καὶ τὰ ὑπερείσματα· ἔτι δὲ καὶ οἱ δεσμοὶ τῶν τοίχων, καὶ ἄλλων κτισμάτων, καὶ πάντα τὰ πρὸς ἀσφάλειαν συντελῦντα.

Armadure, ἁρμαδȣ̃ραι τὰς αὐτὰς ἔχȣσι σημασίας καὶ παρ' Ἰταλοῖς, ὡς τὰ λεξικὰ αὐτῶν ἐπιμαρτυρȣ̃σι.

Ἕρματα παρ' ἡμῖν οἵ τε ἐνώτιοι καὶ περιδέραιοι γυναικεῖοι κόσμοι. Armacollo, ἁρμάκολλον καὶ παρ' Ἰταλοῖς λέγεται τὸ περιδέραιον· Ἁρμάκολλον, ἕρμα τȣ̃ Ἰταλιςὶ κόλλο, τȣτέςι τȣ̃ λαιμȣ̃.

Ἔλεγον οἱ ἡμέτεροι „ναῦς ἡρματισμένη καλῶς·

Λέγȣσι καὶ αὐτοὶ „una nave ben armata.

Ὁ Ἑρμῆς παρ' ἡμῖν προςάτης τῶν λόγων.

Arme καὶ παρ' αὐτοῖς τὰ τῶν ἐπιςημόνων βιβλία λέγονται.

Τὸ παρὰ τοῖς ἀρχαίοις Ἑρμάριον, ἁρμάριο καὶ ἁρμάδιο παρ' αὐτοῖς λέγεται, ἢ φησὶ Βαρῖνος· εἰσὶ δὲ καὶ ἄλλα τȣ̃ Ἕρματος σημαινόμενα, ὡς ἐν τοῖς λεξικοῖς.

Πρὸς τούτοις ἰςέον, ὅτι ὁ Ποιητὴς τὰ τȣ̃ πλοίȣ ἕρματα συνωνύμως καὶ ὅπλα ὀνομάζει· (ὡς Ὀδ μ')

„ αὐτίκα δ' ὅπλα ἕκαςα πονησάμενοι κατὰ νῆα,
„ ἥμεθα· τὴν δ' ἄνεμός τε, κυβερνήτης τ' ἴθυνε.

καὶ προϊών.

„ Ἱςȣ̃ δὲ προτόνȣς ἔῤῥηξ' ἀνέμοιο θύελλα
„ ἀμφοτέρȣς· ἱςὸς δ' ὀπίσω πέσεν, ὅπλα τε πάντα
„ εἰς ἄντλον κατέχυνθ' - - - - - - - -

Α᾽ρμέγω, ἀντὶ τȣ̃ ἀμέλγω.

Α῎ρμενα τὰ πλοῖα, ἐξ ȣ̃ τὸ τῆς συνηθείας ῥῆμα, ἀρμενίζω. τριάρμενος ναῦς Α᾽ντιγόνȣ, ᾗ φησὶ Πολυδεύκης· ἄρμενα καὶ τὰ τῷ πλοίῳ συντείνοντα. ὡς παρὰ Θεοκρίτῳ.

„ . . . . κρέμαται δὲ σὺν ἱσίῳ ἄρμενα πάντα

„ εἰκῇ ἀποκλασθέντα - - - - - - - - - -

Α᾽ρνιȣ̃μαι, φαμὲν, ἀντὶ τοῦ ἀρνέομαι ἀρνοῦμαι.

Α᾽ρτιρίζει, κακῶς τȣ̃το ἐκλαμβάνομεν ἀντὶ, τȣ̃ περισσέυει. τὸ γὰρ ἄρτιον ȣ̓ περισσόν.

Α῎ρτημα, σημαντικὸν τῆς βρώμασι λιτοῖς προσγινομένης ἡδύτητος, ἤτοι προσθέσει ἐλαίȣ, ἢ Βουτύρȣ, ἢ ἄλλȣ τινὸς εἴδȣς, παρὰ τὸ ἀρτύω τὸ ἰδιωτικῶς ἀρτένω· καὶ Λȣκιανὸς ἔφη. „ ἐπεὶ τοῖς κατηρτυμένοις τῶν ζωμῶν ἐοικότας ἀποφαίνει τȣ̀ς λόγȣς.

Α᾽ρχίδιον ἀντὶ ὀρχίδιον τὸ ὑποκοριστικὸν τȣ̃, ὄρχις. ἀρχίδια, ἀντὶ ὀρχίδια οἱ ὄρχεις.

Α᾽σήμι ἀσήμιον, ἀντὶ τȣ̃ ἄργυρος, παρὰ τὸ ἄσημος ἄργυρος, τȣ̓τέστιν ὁ μήπω σημειωθεὶς, ἢ εἰδοποιηθεὶς, ὡς παρὰ Θȣκυδίδῃ. „ καὶ οἱ Ε᾽γεσταῖοι μετ᾽ αὐ„ τῶν, ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργύρου, ὡς εἰς ἑξή„ κοντα ναῦς μηνὸς μισθόν.“ ὅτι ὁ εἰδοπεποιημένος, ἢ εἰς νομίσματα κεκομμένος ἄργυρος, ἐπίσημος ἐκαλεῖτο· ὁ δὲ κίβδηλος καὶ παρακεχαραγμένος παράσημος ἐλέγετο· ἄσημος δὲ καὶ ἐπίσημος, ȣ̓ μόνον ὁ ἄργυρος, ἀλλὰ καὶ ὁ χρυσὸς ἐκαλεῖτο, καθὰ αὐτὸς Θȣκυ-

δης Φησὶ ,,χωρὶς δὲ χρυσίȣ ἀσήμȣ καὶ ἀργυρίȣ, ἔν τε ἀνα-
,,θήμασιν ἰδίοις καὶ δημοσίοις, καὶ ὅσα ἱερὰ σκεύη περὶ τὰς
,,πομπὰς καὶ τὰς ἀγῶνας Μηδικὰ, καὶ ἔτι τοιȣτότροπον, οὐκ
,,ἐλάσσονα ἦν ἢ πεντακοσίων ταλάντων. —" ἢ προϊών.
,,ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίȣ ἐπισήμȣ
,,ἑξακισχιλίων ταλάντων. καὶ Λȣκιανός.

,,Ὦ ξένε Ἀθηναῖε, οἶδα γάρ μȣ τὸν πλȣ̃τον, καὶ τὰς θη-
,,σαυρȣ̀ς, καὶ ὅσος ἄσημος χρυσός ἐςιν ἡμῖν. καὶ ἀλλαχȣ̃·
,,ἂν μὲ ἀφῇς ἀποδρᾶναι, χίλιά σοι τάλαντα χρυσίȣ ἐπισήμȣ
,,δώσειν ὑπιχνȣ̃μαι σήμερον. - - - - - - -

Εὑρίσκονται παρὰ τῷ λεξικογράφῳ Βαρίνῳ, ἀσή-
μιον ἄργυρος, ἢ μετὰ τȣ̃ ι κατωτέρω, ἀσίμιον ἄρ-
γυρος. πιθανὸν, ὅτι ἦσαν δύςηνοι χρήσεις λέξεων τȣ̃
ὑπεργεγηρακότος Ἑλληνισμȣ̃, αἳ καὶ ἕως εἰς ἡμᾶς
καταβᾶσαι. παρὰ δὲ Σȣΐδᾳ μηδενὸς τούτων
μνήμη.

† Ἄσπρον, ἀντὶ τȣ̃ λευκόν. ἄσπρα ὠνομάθησαν καὶ
τὰ ἀργυρὰ νομίσματα, πρὸς ἀντιδιαςολὴν τῶν κοκκί-
νων κερματίων, τȣ̃τέςι τῶν χαλκείων· τὰ νῦν δὲ
γενικῶς τὰ χρήματα ἄσπρα λέγονται. ἐξ ȣ̃ καὶ
ῥῆμα, ἀσπρίζω, τὸ λευκαίνω.

Ἀσύβαςος, ἀντὶ ἀσύμβαςος, παρὰ τὸ σύμβασις καὶ
τὸ α ςερ:

Ἀςάχιον ὑποκοριςικῶς ἀντὶ τȣ̃ ἄςαχυς Ἀττ: τȣ̃ κοι-
νῶς ςάχυς.

Ἀτός μȣ, ἀτοίμας, ἀντὶ αὐτὸς ἐγὼ, αὐτοὶ ἡμεῖς.

† Αὐγατίζω, αὐγάτισμα, αὔξησις·

Ἀφύσκος, ἀντὶ ἀφύσικος καὶ ἐν τῇ παροιμίᾳ.

„ἀφύσικος πραγματευτὴς καθάρσιος διακονάρης.

Ἀχαμναίνω, ἀχαμνός· ȣ̓κ ἔχω εἰπεῖν, εἰ παρὰ τὸ, ἀχὴν, ὁ πτωχὸς, ὁ ὑϛερούμενος, ὁ ἰσχνὸς· καθὸ ταυτοσημάντως λέγομεν, ἀχαμνὸ ἀρνί, καὶ πτωχὸ ἀρνί.

Ἄχνη παρ' ἡμῖν τὸ λεπτότατον τȣ̃ ἀλέυρȣ· καὶ ἀχνὸς τὸ τȣ̃ θερμαινομένȣ ὕδατος ἐξατμιζόμενον πνεῦμα, παρὰ τὸ, ἄχνη· πολλὰ δέ εἰσι τῆς ἄχνης τὰ σημαινόμενα, ἐπὶ λευκότητος μέντοι ὡς ἐπὶ τὸ πλεῖϛον, καὶ λεπτότητος.

ὡς καὶ παρ' Ὁμήρῳ.

„κρίνει, ἐπειγομένων ἀνέμων, καρπόν τε καὶ ἄχνας.

„αἱ δ' ὑπολευκαίνονται ἀχυρμιαί.

Ἀχνὸς καὶ ὁ ὠχρός· ἄχνησεν ἀντὶ τȣ̃ ὠχρίασεν.

Ἀψῆς ἄνθρωπος, ἀντὶ ὀξύθυμος· ἀψὶ τὸ δριμὺ, οἷον, τ' ἀψὶ τὸ ξίδι τ' ἀγγειότȣ βλάπτει, ὡς ἐν τῇ παροιμίᾳ· ȣ̓κ ἔχω ἰσχυρίσαθαι, εἰ ἀπὸ τοῦ ἅψαθαι, τὸ ἀναφθήσεθαι·

Ἀψηφάω, φαμὲν. ἀντὶ τȣ̃ ὀλιγώρως ἔχω, ἢ περιφρονῶ, ἢ ὡς ȣ̓δὲν λογίζομαι, παρὰ τὸ, ψηφῶ, φροντίζω, καὶ τὸ α ϛερητικόν.

προσθήκη ἐν τῷ Α' 1806.

† Α'γανὸν, ἐπὶ ὑφάσματος λέγεται, οἷον, ἀγανὸ πανί, ἀντὶ τȣ̃ μανὸν, ἀραιόν.

Α'γγινάρα, ἀντὶ τȣ̃ κινάρα.

Α'θέρας, τὸ λεπτότατον τȣ̃ ἀλεύρȣ· μεταφορικῶς δὲ καὶ τὸ ἐκλεκτότερον ὁποιȣδήποτε πράγματος· ἔτι, ὁ ἀθέρας τȣ̃ μαχαιρίȣ λέγεται τό, τε ὀξὺ καὶ ἡ λαμπρότης αὐτȣ̃· ἀθερὴς γὰρ καὶ παρὰ τοῖς πάλαι ὁ ἀτηρὴς, καὶ θεριςικός σίδηρος.

Α'λεσμένον, ἀναυξήτως λέγεται, ἀντὶ ἀληλεσμένον.

Α'λλȣ̃, ἐπίῤῥημα, ἀντὶ τȣ̃ ἄλλῃ, ἀλλαχȣ̃.

Α'λυσος, πρὸς τοῖς ἄλλοις σημαινομένοις καὶ ὁ κατὰ τȣ̃ ςήθȣς χρυσȣ̃ς ὅρμος καὶ νῦν ἅλυσος λέγεται. ὡς καὶ παρὰ Κλήμ: τῷ Α'λεξ: ὧδέ πως εἰπόντι. —
„οἵ τε καθετῆρες καλούμενοι, ἁλύσεων ἐπέχοντες τόπον, καὶ
„παρὰ τοῖς Α'ττικοῖς αὐτῷ τȣ́τῳ τῷ ὀνόματι ἁλύσεις κέκληνται.

Α'ναλήφομαι ἡμεῖς φαμὲν κατὰ μετάπτωσιν τȣ̃ β εἰς φ, καλῶς δ' ἄλλοι ἀναλήβομαι· κατὰ δὲ τὸν ἀόριςον καὶ ἡμεῖς συμφώνως αὐτοῖς μετὰ τȣ̃ χυδαϊκȣ̃ κε προσχηματισμȣ̃ ἀνελήφθηκε λέγομεν, ἄφαντος ἐγένετο. διετήρησεν ȣ̃ν ἡ συνήθεια τȣ̃ ἀρχαιοτάτȣ, ἀχρήςȣ δὲ παρὰ τοῖς μεθ' Ὅμηρον, λήβω λήβομαι ῥήματος τὴν χρῆσιν (ἐξ ȣ̃ παρῆκται τὸ λαμβάνω·) τὸ λήβομαι προσλαμβάνον τὴν ανα πρόθεσιν, γίνεται κατὰ μέσην διάθεσιν σημαντικὸν τȣ̃ ἀναλαμβάνομαι, ἤ ἄφαντος γίνομαι. —

Ἀνήλικος, ὁ ἔτι παῖς, ὁ μήπω ἡλικίαν ἔχων, παρὰ τὸ, ἧλιξ, καὶ τὸ α στερητικὸν, μετὰ παρενθέσεως τοῦ ν διὰ τὴν εὐφωνίαν, καθὰ καὶ τὰ, ἀνήλιος, ἄναλος, ἄναιμος. Ὁμήλικος δὲ ὁ τῆς αὐτῆς ἡλικίας, ὅπερ ἡ ἐνεστῶσα συνήθεια καὶ ξὺν προσθήκῃ τῆς σὺν προθέσεως ἐκφέρει, ἀντὶ Ὁμήλικος συνομίληκος κατὰ Θεόκριτον λέγουσα.

Ἀναχασμιοῦμαι παρὰ τὸ χασμᾶσθαι· ὁ γὰρ ἀναχασμάμενος, ἐν τῷ ἀνοίγειν τὸ στόμα, οἱονεὶ χάσμα ποιεῖ.

Ἀντήμερα, χρονικὸν τῆς συνηθείας ἐπίῤῥημα, ἀπόζον μέν τοι ἀρχαιότητος, οἷον, ἀντήμερα τοῦ πάσχα; αὐτῇ τῇ ἡμέρᾳ τοῦ πάσχα, κατὰ τὸ π ρὶ τοῖς πάλαι Λάκωσιν, ᾗ φησὶν Ἡσύχιος, Ἀιτετοῦς, τοῦ αὐτοῦ ἔτους.

Ἀόμματος, τυφλὸς παρὰ τὸ ὄμματα, καὶ τὸ α στερητικὸν, οὐκ ἀκόμψως ὑπὸ τῆς συνηθείας ἐσχηματίσαι κατὰ μίμησιν τῶν ἀόργητος, ἀόριστος, ἄοπτος ἄοπλος.

Ἀπανεμιὰ, ἀντὶ τοῦ ἀπηνεμία, ὁ ἀνεμοσκεπὴς τόπος, οἷον ἂς καθήσωμεν ἐδῶ εἰς τὴν ἀπανεμιάν. Ἀπηνεμία, εὐδία, νηνεμία· ἀπήνεμος ὁ ἄνευ ἀνέμων.

Ἀπαράβαλτος, ἀσύγκριτος, παρατροπῇ τῆς συλλαβῆς τοῦ βλη εἰς βαλ, ἀντὶ τοῦ ἀπαράβλητος.

Ἀπίαστος, ἄληπτος, ἀντὶ τοῦ ἀπίαστος ὡς παρ' Ἡσυχίῳ.

Α'πόγευμα, ἀποδείλινα, ἀπολείτουργα, ἀπόπασχα, ἀπότρυγα, ἀπόφαγα, ἀπόσχολα, χρονικὰ τῆς συνηθείας ἐπιῤῥήματα, Ἑλληνικοῦ δὲ ἰδιωτισμοῦ οὐκ ἀπεστέρηνται.

Α'ποκόβω, ἀντὶ τοῦ ἀποκόπτω τὸ ἀπογαλακτίζω.

Α'ποκοιμίζω τὸ παιδὶ, ταυτόσημον τῷ κατακοιμίζω· μεταφορικῶς δὲ ἀποκοιμίζω τινὰ λόγοις, ἀντὶ τοῦ ἀφροντιστεῖν αὐτὸν ἀποκαθιστῶ.

Α'πολογοῦμαι, ἐν χρήσει παῤ ἡμῖν ἀντὶ τοῦ ἀποκρίνομαι. ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„τοῦ εὐγενικοῦ ἐφώναξαν, καὶ ὅπου ᾽χεν, ἀπολογήθη.

Α'πομένει, τὸ ἀπολείπεται, οὕ φησιν Ἡσύχιος· καὶ ἡμεῖς φαμὲν. „δὲν μ᾽ ἀπόμεινε τίποτε„ χρώμεθα δ᾽ αὐτῷ καὶ ἀντὶ τοῦ ἁπλῶς μένω, οἷον, πάγαινε, καἰγὼ ἀπομένω ἐδῶ, κατὰ τὸ παρὰ ξενοφῶντι.

„ἀλλ᾽ εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δὲ θέλω πορεύεσθαι·

„εἰ δὲ χρήζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ αὐτοῦ.

Α'ποφαίνομαι· οὗπερ κυρία σημασία τὸ ἀποφαντικῶς λέγω· ἡ δὲ συνήθεια χρῆται αὐτῷ ἐξ ἀγνοίας ἀντὶ τοῦ ἁπλῶς φαίνομαι, ἢ ἐμφανίζομαι, οἷον, καλὲ ἀποπολὶς δὲν ἀποφαίνεσαι, κατὰ τὸ παρὰ Λουκιανῷ „πολὺν γὰρ χρόνον οὐ πέφηνας ἐν τῇ πόλει.

Α'ποπολὶς, χρονικὸν τῆς συνηθείας ἐπίῤῥημα, ἀντὶ τοῦ χρονίως.

Α'πραγος, ἀντὶ ἄπρακτος.

Α'ργιόνω, ἀντὶ τοῦ ἀραιῶ.

Α'ρκετὸς, ἀρκετὸς ἱκανός· ἀρκετὰ ἐπίῤῥημα, ἱκανῶς.

Α'ρκοῦδα ἡ ἄρκτος, παρὰ τὸ, ἄρκος· ὅτι δὲ ἡ ἄρκτος ἐλέγετο καὶ ἄνευ τοῦ τ ἄρκος, καλῶς ἐσημειώσατο ὁ Φιλοσοφώτατος καὶ Φιλογενέστατος Δ: ὁ Κοραῆς. (σελ: 361. τῶν εἰς τὰ Ἡρακλ: περὶ πολιτικῶν σημ:) ᾧ πολλὰς τὸ ὁμογενὲς ὀφείλομεν τὰς χάριτας πολλῶν τε τῶν πρὸς ἡμᾶς καλῶν ἄλλων, καὶ τῶν ἀναπτύξεων ἕνεκα, αἷς ἐμμελῶς πάνυ ἀνακαλύπτει τὰς ὡς ἐν παραβύστῳ πȣ τῆς χυδαιότητος παρημελημένας ἀρχαίας λέξεις.

Α'ρσενοθήλυκος, ὁ Ἑρμαφρόδιτος.

Α'ς. ἄς, παρ' Ἡσυχίῳ, ἀντὶ τοῦ ἕως, ἢ ὅπως, ἢ μέχρις οὗ. τὰ νῦν δὲ αὐτὸ τὸ μόριον, Α'ς, ἄλλης τυγχάνον παρὰ τῇ συνηθείᾳ σημασίας, προτιθέμενον τῶν ῥημάτων, ἀποτελεῖ προστακτικὴν τῆς συνηθείας ἔγκλισιν ἐπὶ τοῦ τρίτου προσώπου, οἷον, „ἂς τὸ κάμω, καὶ ὅ, τι πάθω, ἂς πάθω· κατὰ τὸ παρὰ Λουκιανῷ, „ἀλλὰ φέρε ἴδω, ἔτι σοι ἐδώδιμον ἡ πήρα ἔχει.“

Α'ρχήτερος, παρὰ τὸ Ἀττικῶς ἀρχαίτερος τροπῇ τῆς αι διφθόγγου εἰς τὸ η ὑπογραφόμενον. ἣ περὶ καλῶς Δ: ὁ Κοραῆς ἐσημειώσατο (σελ: πβ') διδάσκων ἡμᾶς, πῶς ὀφείλομεν τὰ τοιαῦτα γράφειν, ἤγουν μετὰ τοῦ η ὑπογραφόμενον ἔχοντος ι, οἷοι, „μεγαλήτερος, προτήτερος, καλήτερος, χονδρήτερος, μακρήτερος.“

Α'σβέστωμα ἀντὶ ἀσβέστωσις ἢ κονίασις, ὡς παρ' Ἡσυχίῳ.

Α'σαχὸς τὸ ὀςρακόδερμον, ἀντὶ ὀςακὸς καὶ ἀςακός.

Α'σοχῶ παρὰ τοῖς πάλαι τὸ ἀποτυγχάνω· ἡ δὲ νῦν συνήθεια χρῆται ἀντὶ τοῦ λήθομαι· οἷον μὴν τ' ἀςοχήσῃς, ταυτοσημάντως τῷ, μὴν τ' ἀλησμονήσῃς.

Α'ςράβωτον, ἀντὶ τοῦ παρὰ Πλουτάρχῳ ἀςραβές.

Α'χαμνὸς παρὰ τὸ, χαῦνος, ἧπερ εὐςόχως πάνυ αὐτὸς Κοραῆς αἰνίττεται (σημ: εἰς Ἡλιόδ: σελ: 282) χυδαϊκῇ τροπῇ τοῦ υ εἰν μ χαμνὸς, καὶ κατ' Ἀττικισμὸν προσλήψει τοῦ ἀρχικοῦ α ἀχαμνὸς· καθὰ καὶ τὸ ἐλαύνω, τὸ ἐρέσσω, μετεποίησεν ἡ συνήθεια εἰς τὸ, λάμνω· Γεράσιμος ὁ Βλᾶχος ἐν τῇ λέξει, ἀχαμνὸς, πρὸς τοῖς ἄλλοις ἐξηγεῖται αὐτὸ, χαῦνος καὶ χαυνός.

Α'χολογὴ ἡ μεγάλη βοὴ, ἡ κραυγή· ἀχολογεῖ, ἀντὶ ἠχολογεῖ παρὰ τὸ, ἠχώ· οἷον, ἀχολογοῦσι τ' αὐτιάμου.

Α'μμὴ, καὶ οὐχὶ ἀμὴ, παρὰ τὸ ἂν μή· χρῆται δ' ἡ συνήθεια καταχρηςικῶς τῷ, ἀμμὴ, ἀντὶ τοῦ ἀλλά· ἔπιθι τὰ περὶ αὐτοῦ τούτου εἰρημένα Δ: τῷ Κοραῇ (ςοχασμ: σελ: πγ')

Α'διάντροπος ὁ ἀναίσχυντος. παρὰ τὸ, ἢ φησιν αὐτὸς Κοραῆς, ἴσως ὑπάρξαν ἐν χρήσει ῥῆμα διεντρέπω μετὰ διπλῆς τῆς προθέσεως, ἐξ οὗ ἀδιέντρεπος, χυδαϊκῇ δὲ τροπῇ τοῦ ι εἰς α ἀδιάντροπος.

Α'ργανον φαμὲν τὸ τύμπανον, ἀντὶ ὄργανον, τροπῇ τοῦ ο εἰς α καθὰ καὶ ἀρμάθα ἀντὶ ὁρμάθα· ὄρ-

γανον κυρίως, τὸ ἐργαλεῖον παρὰ τὸ, ὀργάνη, ἐπίθετον τῆς Ἀθηνᾶς.

Ἀυτὶ, αὐτίον, ἀντὶ τȣ̃ ὠτίον, ἀπὸ τῆς γενικῆς τοῦ, αὖς αὐτὸς, ὡς ἔλεγον Κρῆτες καὶ Λάκωνες, ἀντὶ τȣ̃ κοινᾶς, ȣ̃ς, ὠτός, ἥπερ Δ: ὁ Κοραῆς ἐν ταῖς εἰς Ἡλιόδωρον σημειώσεσι (σελ: 345) ἐμμελῶς πάνυ τοῦτο ἡρμήνευσεν. ἰδȣ̀ ταὐτολεξεὶ τὰ περὶ αὐτȣ̃ τȣ́τȣ ἐκεῖσε αὐτῷ εἰρημένα. — „καὶ σημείωσαι „τῶν διφθόγγων τὴν συγγένειαν ἐν τῷ, ἄυρα, καὶ οὖρος, ἵνα „καὶ τȣ̃ ἐν συνηθείᾳ αὐτίȣ (τȣ̃ τῆς ἀκοῆς αἰσθητηρίȣ) μὴ „καταγινώσκῃς βαρβαρότητα· ὃ γὰρ οἱ ἄλλοι Ἕλληνες, οὖς, „ὠτὸς ἐκάλȣν, τοῦτο Κρῆτες καὶ Λάκωνες, καθάπερ αὖθις „αὐτὸς Ἡσύχιος λέγει (λέξ: αὖς) αὖς, αὐτὸς ὠνόμαζον. „ὡς ȣ̃ν παρὰ τὴν τȣ̃ ὠτὸς γενικὴν τὸ ὠτίον, ȣ̃τω καὶ πα„ρὰ τὴν, αὐτὸς, τὸ αὐτίον ἐσχημάτισαι.

# B.

Βάβω ἡ τῶν γονέων μήτηρ λέγεται, ἀντὶ τῦ μάμμη· ὀνοματοποιηθῆναι δοκεῖ ἡ χυδαϊκὴ ἄυτη λέξις ἀπὸ τῆς τῶν ψελλιζόντων νηπίων φωνῆς. Βάβω δ' ἔτι καὶ ἡ γραία.

καὶ ἐν τῇ παροιμίᾳ.

„ἂν εἶχ' ἡ βάβω μας ἀρχίδια, τὴν ἔλεγαν παππῦ.

Βαγένιον καὶ κάδος, οἰνηρὰ ξύλινα ἀγγεῖα.

† Βαγίζει, βάγισμα φαμὲν ἡμεῖς, ἀντὶ τῦ κλίνει, κλίσις, οἷον, ἐβάγισεν ὁ τοῖχος καὶ θέλα πέσει.

Βαγύζει δὲ παρ' ἄλλοις λέγεται ἐπὶ τῶν νεογνῶν, ὅταν κλαίει, ἀντὶ τῦ βαΰζει· παρὰ τοῖς πάλαι ἐπὶ τῆς τῶν κυνῶν κλαυθμηρᾶς φωνῆς κυρίως ἐλέγετο· ὡς παρὰ Θεοκρίτῳ.

„ - - - - - - ἁ δὲ βαΰσδει
„ εἰς ἅλα δερκομένα - - - - -

καὶ Λυκιανός φησι — „κυνίδιον ἐκ τοῦ ἱματίυ προκύπτον . . .
„ . . . . . . . καὶ βαΰζον λεπτῇ τῇ φωνῇ . . .

Βάγια λέγεται παρ' ἡμῖν ἡ τροφὸς (εἰ καὶ παρ' ἄλλοις, οὐκ οἶδα) ἀπὸ τῦ Ἰταλικῦ Βάϊα ὡς τὸ — „ὅθεν οἱ Ῥωμαῖοι Βαΐαν καλῦσι τὴν τροφόν, καὶ βαγιῦλον,

„ διά τάς Βαΐας, τόπον ὄντα ἀπολαυςικώτατον, καὶ τρυφῶντι
„ ἐπιτήδειον.

Βάλλω, καὶ χυδαϊκῶς βάνω καὶ βάζω· τὸ βάλλω παρὰ τοῖς ἀρχαίοις ἐπὶ πολλῶν ἐλέγετο, ἐξ ὧν ἡ συνήθεια ταύτας μόνας τὰς σημασίας ἐφύλαξεν, οἷον τοῦ τιθέναι, ὡς τὸ, βάλε ςὸ νοῦν σου· κατὰ τὸ παρὰ τῷ ποιητῇ — „ ἐνὶ θυμῷ βάλλεαι.“ καὶ ὡς τοὺς βάλλωμεν ν' ἀγαπηθοῦν· κατὰ τὸ.

„ φιλότητα μετ' ἀμφοτέροισι βάλλωμεν.

καὶ τοῦ ἐγχεῖν, οἷον, βάλλε καὶ μένα ςὸ καυκίμου. — „ βάλλε νερὸ ςὸ κακκάβι· κατὰ τὸ. „ βάλλει ὕδωρ εἰς ἄγγος.

καὶ Ἀνακρέων ἔφη . . . . . . . „ δός ὕδωρ, βάλλ' οἶνον, ὦπαῖ.

Βάρος· βάρος κυρίως τὸ ἄχθος, φορτίον· Βάρος δὲ μεταφορικῶς ἡ ἐνόχλησις, καθὰ καὶ ἡ συνήθεια ἐπὶ τῆς αὐτῆς σημασίας χρῆται τῷ, Βάρος, οἷον, νὰ σᾶς σηκώσω τὸ βάρος, τουτέςι τὴν ἐνόχλησιν, συνῳδὰ Ἡλιοδώρῳ, εἰπόντι. „ Βάρος οὐδ' ὁτιοῦν ἅπαν „ τὸ εἰς ὑμᾶς ἐσόμενον ἡγήσομαι.“ καὶ πολλῷ πρὸ αὐτοῦ Παῦλος ὁ ἀπόςολος ἐν τῇ πρὸς Θεσσαλονικεῖς παρομοίως ἐχρήσατο, εἰπών. — „ δυνάμενοι ἐν βάρει „ εἶναι, ὡς Χριςοῦ ἀπόςολοι. καὶ προϊών. „ νυκτὸς καὶ „ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαι τινὰ ὑμῶν.

Βαρῶ, καὶ ἀντὶ τοῦ τραυματίζω, καὶ ἀντὶ τοῦ κρούω. καὶ ἀντὶ τοῦ τύπτω, καὶ ἀντὶ τοῦ ἄχθομαι τὰ νῦν λέγεται, καθά

καὶ ἐν ταῖς παροιμίαις.

„ σοῦ κουφῶ τὴν πόρτα, θέλεις, βάρει, θέλεις μή.
„ ἢ βάρει τ' ἀρχοντόπολον, ἢ μὴ τὸ δοκιμάζεις.
„ ἔπαρε κεφάλι, βάρει τοῖχον.
„ μὲ τὰ δικά μου τὰ λιθάρια μὲ βαρεῖς
„ ὅποιος τοῦ βαρεῖ, ἂς ξεφορτώσῃ.

τὸν ἐβάρεσε κακὰ, ἀντὶ τοῦ θανατηφόρως αὐτὸν ἐτραυμάτισε.

Βαργιοῦμαι, ἀντὶ τοῦ βαρέομαι· οἷον „ βαργιέσθε νὰ μοῦ „ κάμετε καλὸν, ἀντὶ τοῦ βαρέεσθε.

Βάσκαμα σώζετ' ἔτι ἡ τῶν γυναικῶν γελοία δεισιδαιμονία ἐπὶ τῷ νουθετεῖν τὰ παιδία, πτύειν εἰς τοὺς ἰδίους κόλπους, ἵνα μὴ βασκαίνωνται.

καὶ Θεόκριτος (εἰδ ϛ')

„ ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.
„ ταῦτα γάρ ἁ γραῖα με Κοτυτταρὶς ἐξεδίδαξε.

Βατεύονται, ἐπὶ τῆς τῶν τετραπόδων μίξεως καὶ τοῦ νῦν λέγεται.

ὡς παρὰ τῷ αὐτῷ (εἰδ:)

„ ὡπόλος ὄκκ' ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
„ τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.

Βγαίνω, καὶ ἐυγαίνω, ἀντὶ τοῦ ἐκβαίνω.

Βγάζω, καὶ ἐυγάζω, βαρβάρῳ παρατροπῇ τῶν συλλαβῶν, ἀντὶ τοῦ ἐκβάλλω, τὸ ἀποφέρω, πορίζομαι, κερδαίνω.

καὶ ἐν τῇ παροιμίᾳ.

„πάντα νά 'ν' ὁ μάσουράς μου, βγάζ' ὀχτώ, καὶ τρώγει δέκα.

Βδομάδα, ἀντὶ ἑβδομάς· ἐφύλαξεν ἡ συνήθεια καὶ ταύτην τὴν Αἰολικὴν χρῆσιν, καθὰ καὶ ἐπὶ τοῦ, ὁ μάρτυρος, τοῦ μαρτύρου, οἱ μάρτυροι, ἀντὶ τοῦ κοινῶς ὁ μάρτυς, τοῦ μάρτυρος, οἱ μάρτυρες.

Καὶ ἐπειδὴ περὶ ἑβδομάδος ἐνταῦθα ὁ λόγος, οὐκ ἄκαιρον ἔδοξέ μοι, ὠφελείας τῆς τῶν μαθητιάντων ἕνεκα, προσεξειπεῖν ὅσα ἀνέγνων περὶ τῶν ἡμερῶν αὐτῆς, καὶ ὀνομάτων αὐτῶν κατὰ τοὺς ἀρχαίους.

---

Περὶ ἡμερῶν τῆς ἑβδομάδος, καὶ ὀνομάτων παρὰ τοῖς ἀρχαίοις ἔθνεσιν, ἐκτὸς τῶν Ἑλλήνων, ὡς παρά τινι ἀνωνύμῳ κατὰ τοὺς τῶν Ἡρακλειωτικῶν παλαιοτήτων σχολιαστάς.

„οἱ περὶ Ζωροάστρην καὶ Ὑδάσπιν Χαλδαῖοι, καὶ Αἰγύπτιοι, „ἀπ' ἀριθμοῦ τῶν Πλανητῶν ἐν ἑβδομάδι τὰς ἡμέρας ἀνέ-„λαβον.

καὶ παρ' Ἡροδότῳ.

„καὶ τάδε Αἰγυπτίοισιν ἐστὶν ἐξευρημένα, μείς τε καὶ ἡμέρη „ἑκάστη θεῶν, ὅτευ ἐστὶ, καὶ τῇ ἕκαστος ἡμέρῃ γενόμενος ὁτέοι-„σιν ἐγκυρήσει, καὶ ὅκως τελευτήσει· καὶ τούτοισι τῶν Ἑλ-„λήνων οἱ ἐν ποιήσει γενόμενοι ἐχρήσαντο.



ς'. Διός Ζ. Ἀφροδίτης



Α΄. Κρόνου  Β΄. Ἡλίου  Γ΄. Σελήνης  Δ΄. Ἄρεως  Ε΄. Ἑρμοῦ  ς΄. Διός  Ζ΄. Ἀφροδίτης

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ παρὰ Δίωνι.

,, τὸ δὲ δὴ εἰς τοὺς ἀστέρας τοὺς ἑπτὰ πλανήτας ὠνομασμένους
,, τὰς ἡμέρας ἀνακεῖσθαι, κατέστη μὲν ὑπὸ Αἰγυπτίων· πάρεστι
,, δὲ καὶ ἐπὶ πάντας ἀνθρώπους, οὐ πάλαι ποτέ, ὡς λόγῳ εἰ-
,, πεῖν, ἀρξάμενον· οἱ γοῦν ἀρχαῖοι Ἕλληνες οὐδαμῇ αὐτό,
,, ὅσα γε ἐμὲ εἰδέναι, ἠπίσταντο· καὶ πάνυ νῦν τοῖς τε ἄλ-
,, λοις ἅπασι, καὶ αὐτοῖς τοῖς Ῥωμαίοις ἐπιχωριάζει, καὶ
,, ἤδη σφίσι πάτριον τρόπον τινά ἐστι.

Καὶ παρὰ Φιλοστράτῳ περὶ τῶν ἑπτὰ δακτυλίων,
οὓς ἐδωρήσαντο Ἀπολλωνίῳ οἱ Βραχμᾶνες.

,, δακτυλίους ἑπτὰ τῶν ἑπτὰ ἐπωνύμων ἀστέρων, οὓς φορεῖν
,, τὸν Ἀπολλώνιον καθ᾽ ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν.

---

Ἰστέον, ὅτι ἡ ἑβδομὰς παρὰ τοῖς ἀρχαιοτέροις ἔθνεσιν ἤρχετο ἀπὸ τοῦ Κρόνου, καὶ ἔληγεν εἰς τὴν Ἀφροδίτην, ἤγουν ἡ πρώτη Κρόνου· ἡ δευτέρα Ἡλίου· ἡ τρίτη Σελήνης· ἡ τετάρτη Ἄρεως· ἡ πέμπτη Ἑρμοῦ· ἡ ἕκτη Διός· καὶ ἡ ἑβδόμη τῆς Ἀφροδίτης, ὡς καὶ αἱ ἐνταῦθα ἐμπεριεχόμεναι τῶν ἑπτὰ ἀσπιδίσκων εἰκόνες μαρτυροῦσιν· ὧν τὰ πρωτότυπα ἐν μηνὶ Μαΐῳ τοῦ 1760 ἔτους, ἀνορυττομένων τῶν κατὰ τὸν τόπον τῆς (*) Κυβητᾶς παλαιοτήτων, ἀνευρέθη-

---

(*) Χώρα τις, οὕτω καλουμένη, μεταξὺ τῶν ποτὲ πόλεων Πομπηΐου, καὶ Ἑρκουλάνου (ἤτοι Πομπηϊουπόλεως καὶ Ἡρακλεουπόλεως) ἢ πόλισμα ὑπὸ ταῖς τοῦ Οὐεζουβίου ὄρους ὑπωρείαις κείμενον· οὗ τὰ ἐρίπεια (ὥσπερ καὶ τ᾽ ἄλλα τὰ πέριξ) κατὰ τὸν παρελθόντα δέκατον ὄγδοον αἰῶνα ἀνακαλύπτεσθαι ἤρξαντο.

σαν σῶα, κατὰ τοίχȣ οἰκήματός τινος ὄντα ἐζωγραφισμένα, παριςάντα τὰς ἑπτὰ τῆς ἑβδομάδος ἡμέρας, ἀπὸ τῶν ἑπτὰ Πλανητῶν ὠνομασμένας. ἐν αὐτοῖς δὴ τοῖς ἀσπιδίσκοις τὸν πρῶτον ἐπέχει τόπον ὁ Κρόνος, ἡ δ᾽ Ἀφροδίτη τάξεως λέλογχε τῆς ἑβδόμης. ἐπὶ δὲ τῶν πρώτων αὐτοκρατόρων Ῥωμαίων κατὰ τὸν πρῶτον αἰῶνα ἤρξαντο τῆς ἑβδομάδος τὴν πρώτην ἀπὸ τȣ̃ Ἡλίȣ ὀνομάζειν, τὴν δευτέραν δὲ τῆς Σελήνης ἡμέραν ἐκάλεσαν, καὶ καθεξῆς τὰς ἄλλας τέσσαρας, Ἄρεως, Ἑρμȣ̃, Διὸς, Ἀφροδίτης, μετατάξαντες ἐν τῇ ἑβδόμῃ τὸν Κρόνον.

Κατ᾽ αὐτὸ δὴ τὸ ἔθος καὶ τῶν ἀρχαίων ἁγίων τινὲς πατέρων, τὴν Κυριακὴν ἡμέραν Ἡλίȣ ὠνόμαζον, ἀναφέροντες εἰς τὸν νοητὸν Ἥλιον τὴν ἔννοιαν. Καὶ ὁ ἅγιος Ἰȣςῖνος ὑπὸ τȣ̃ αὐτοκράτορος Ἀντωνίνȣ ἐρωτηθεὶς, περὶ τȣ̃ τίνι τῶν ἡμερῶν τῆς ἑβδομάδος ἡ τῶν Χριςιανῶν ἀποδίδοται Κυριακὴ, ἀπεκρίνατο, τῇ τȣ̃ Ἡλίȣ λεγομένῃ ἡμέρᾳ· ἀλλάγε καὶ μέχρι τȣ̃δε παρά τε τοῖς Ἀλλαμανοῖς, καὶ τοῖς Ἄγγλοις ἡμέρα Ἡλίȣ ἡ Κυριακὴ καλεῖται· οἱ δὲ Ἰταλιῶται καὶ Γάλλοι ἐκτὸς τῆς Κυριακῆς, καὶ τοῦ σαββάτȣ, τὰς ἄλλας πέντε ἀπὸ τῶν Πλανητῶν ἀκμὴν ὀνομάζȣσι.

Βέργα ἐξ Ἰταλῶν, ἀντὶ τῦ ἡμετέρυ, λύγος, ὡς παρὰ Καλλέργη τῷ Θεοκρίτυ σχολιαςῇ (εἰδ: α')
,, βεργίον τὸ ὑποκοριςικὸν τῦ βέργα . . . . . . Λυγίσω, καὶ Δωρικῶς λυγιξῶ ἀπὸ τῦ λύγος, τὸ βεργίον.

Βῆκαν, ἀντὶ τῦ ἐξέβησαν, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

,, ὅσο νὰ ξεσολιθῇ ἡ νύφη, τῦ γαμβρῦ τὰ μάτια βῆκαν.

Βιὸ, ἀντὶ τῦ βίος, ἡ τῶν κτημάτων ὐσία κατὰ Συΐδαν, καὶ ἐν τῇ παροιμίᾳ ,, ξένο βιὸ καλολογάργιασο.

Βικὶ γυάλινον, βικίον τὸ ὑποκοριςικὸν τῦ βίκος.

Βίσσαλα παρ' ἡμῖν, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

,, χώνει βίσσαλα, κ' ἐυγάζει καρβέλια.

† Βογκάει ἀπὸ τῆς πάσχοντος φωνῆς ὀνοματοποιηθῆναι δοκεῖ.

Βολλεῖ νὰ γένῃ, ἀντὶ τῦ δυνατὸν γενέσθαι. βολλετὸν, τὸ ἐφ' ἡμῖν ἐξὸν γενέσθαι.

Βόμπος, ἀντὶ τῦ βόμβος· ἐν χρήσει παρ' ἡμῖν, καὶ κατακόρως ἡ λέξις ἄυτη, ἐπὶ ἐυτελείᾳ τῶν πάνυ μικρῶν τῷ σώματι ἐκλαμβανομένη, ἐκ μεταφορᾶς, δοκεῖν ἐμοὶ, τῶν μικροτάτων βομβυτικῶν ζωϋφίων, οἷον ἐρωτῶντες ,, τί λογῆς εἶναι ἡ (δεῖνα) νύφη" ἀκούομεν ,, ἄν' ἕνας βόμπος· τὐτέςι μικρὰ πάνυ τῷ σώματι. Α'λλά γε καὶ παρὰ τοῖς ἀρχαίοις, ἧ φησὶ Συΐδας, τὸ βομβάζειν ἐπὶ τῷ διασύρειν καὶ τωθάζειν ἐλέγετο· λέγομεν δ' ἔτι καὶ ἐπὶ χαριεντιςικῇ ἐυτελείᾳ, ὅταν τὰ παιδία παίζῃ μεθ' ἡμῶν ,, κύτταξε τὸν βόμπον τί κάμνει. — ,, καὶ, ὢ τὸν βόμπον θέλει ,, νὰ παλέψῃ μαζίμυ· ὡς ἂν εἰ ἐλέγομεν τὸν κάνωπα·

οὐκ ἦσαν μεμπτέαι καὶ παρὰ τοῖς πάλαι αἱ τοιαῦται ὑπερβολαὶ, εἴτε ἐπὶ χαριεντισμῷ εἴτε ἐπὶ ἐυτελείᾳ ὡς καὶ ἐν τοῖς κατιοῦσι τῆς ἀνθολογίας διςίχοις.

Εἰς λεπτοὺς καὶ μικρούς.

,, Τὸν μέγαν ἐζήτουν Εὐμήκιον, ὅς δ' ἐκάθευδε
,, μικρῷ ὑπ' ὀξυβάφῳ, τὰς χεῖρας ἐκτανύσας.

ἄλλο.

,, Ρὶπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
,, τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

Βονιὰ λέγεται παρ' ἡμῖν ἡ τῶν βοῶν κόπρος, ἣ γραπτέον μετὰ τοῦ ω μέγα, Βωνιὰ, καθὰ καὶ Βωνίτης ὁ βουκόλος.

Βουβὸς, ἀντὶ βαβὸς, ὁ φωνῆς καὶ ἀκοῆς ἐςερημένος.

Βούκοινον παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς (Ἑλληνικωτάτη λέξις) ὡσπερανεὶ ἔλεγον ὑπέρκοινον, ὑπερπασίδηλον· ἡ γὰρ τῆς, Βου, ἐπίτασις μεγέθους, ἢ ὑπερβολῆς σημαντική, καθάπερ καὶ ἐν τοῖς, βουθυτεῖ, βούλιμος, βούπαις· εἰ σώζετ' ἔτι καὶ παρά τισι τῶν συμπολιτῶν μου ἡ λέξις, διὰ μνήμης οὐκ ἔχω.

ὡς καὶ ἐν τῇ παροιμίᾳ

,, ὁ κόσμος, τῶχει Βούκοινον, κ' ἐμεῖς κρυφὸ μυςήριον.

Βοῦρλον, εἶδος ἱμαντώδους λύγου, ἐν τόποις καθύγροις φυόμενον· ἐν χρήσει παρὰ τοῖς τορνεύουσι· χρῶνται δ' αὐτῷ καὶ οἱ καθαίροντες τὰ ξύλινα ἀγγεῖα, τραπέζας τε, καὶ πατώματα· καὶ ἐπὶ τῷ δέειν χρήσιμον.

† Βȣρλίζειν, ῥῆμα τῆς συνηθείας, σημαντικὸν τȣ̃ ἐρεθισμοῖς, καὶ πειρασμοῖς ἔκφρονά τινα ἀποκαθιςᾶν· Βȣρλίζεται κατὰ μέσην διάθεσιν· Βουρλισμένος, ἔκφρων.

Βουλιάζω, Βȣλίζω, καταδύω, βυθίζω, παρὰ τὸ βολίζω, ὅπερ κυρία σημασία τὸ τὰ βάθη θαλασσῶν μολυβδίνῃ μετρεῖν καθέτῳ· ὡς ἢ παρὰ τῷ Ἐυαγγελιςῇ ἐν ταῖς πράξεσι „ἢ βολίσαντες εὗρον ὀργειὰς εἴκοσι·“ ἐξ ȣ̃ Βουτῶ ἐπὶ τῶν ὑπὸ τοῖς ὕδασιν ἑαυτȣ̀ς ἐμβαπτόντων λεγόμενον.

Βράζω, βράζω, ζέω, θερμαίνω, καὶ ἀντὶ τȣ̃ ἕψω τὰ νῦν λεγόμενον, οἷον βράζω φαγὶ, βρασμένο κρέας, ἀντὶ ἑψητόν· τὸ δὲ ὀπτὸν ἀντιςρόφως ψητὸν καλȣ̃μεν.

Βραγχνιάζω, καὶ Δαβὶδ ψαλ: ξή ἔφη· „ἐβραγχνίασεν ὁ λάρυγξ μȣ·“ παρὰ τὸ βραγχιᾷν.

Βράχος. βράχη, κρημνώδεις τόποι καὶ δύσβατοι.

Βρύσις, ἡ διαυγὴς πηγὴ, παρὰ τὸ βρύειν.

Βρᾶμα, κακῶς ἐκφέρομεν, ἀντὶ τȣ̃ βρῶμος ἡ ἀκαθαρσία, ἡ δυσωδία· βρῶμα γὰρ ἡ τροφὴ, καθὰ καὶ βρώμη, καὶ βρῶσις, καὶ βρωτὸν, παρὰ τὸ βέβρωμαι, βέβρωσαι, βέβρωται.

ὡς παρ' Ὁμ: (Ἰλ. κ'.)

„ȣ̓ θυμὸν ἔδων; βρώμης δ' ȣ̓κ ἄπτεαι, ȣ̓δὲ ποτῆτος;

Βρῶμος δὲ ἐπὶ ἀκαθαρσίας, ἢ δυσωδίας, παρὰ τὸ βρωμάομαι, ἐξ ȣ̃ βρωματώδης, καὶ βρωμολόγος παρὰ Λȣκιανῷ.

καὶ ἐν τῇ παροιμίᾳ.

„ τὸ ψάρι ἀπὸ τὸ κεφάλι βρωμάει.

Βυζί, βυζίον, ὁ μαςός· βυζάνει τὸ παιδί, ἀμεταβάτως· μεταβατικῶς δὲ, οἷον, βυζάνει ἡ μάννα τὸ παιδὶ, ἴσως, παρὰ τὸ βύζειν, τὸ πεπιεσμένως μετέχειν· τὰ γὰρ γαλακτοτρεφέμενα τοῖς χείλεσι τὴν τῦ μαςῦ ῥᾶγα βύζοντα, ἤτοι πιέζοντα, ἐξέλκει τὸ γάλα.

---

## Προσθήκη καὶ ἐν τῷ Β. 1806.

Βυζάνω· ἀνέγνως ἀνωτέρω, Φιλόμουσε, τὴν περὶ αὐτῦ τύτυ εἰκασίαν τὴν ἐμήν· ἔπιθι δὲ καὶ τὰς εἰς τὰ Ἡλιοδώρυ Αἰθιοπικὰ σημειώσεις τῦ Δ: Κοραῆ (σελ 5) ἵνα εἰδῇς, ὅτι εὐςοχωτέρως παρ' αὐτῷ κέκριται, παρασχηματισθῆναι τὸ, βυζάνω, ὑπὸ τῆς χυδαιότητος, κατὰ μετάπτωσιν τῦ μ εἰς β παρὰ τὸ, μυζάω· ὅπερ κυρίᾳ σημασίᾳ αὐτὸ τὸ θηλάζειν ἐςί.

† Βαρβάτο, βαρβάτα, τὰ ἔνορχα, οἷον βαρβάτο ἄλογον, πρόβατον.
Βαλαντωμένος, ἀντὶ περίλυπος, ὑπ' ἀθυμίας βεβαρημένος.

Βαρέλι, ἀπὸ τῦ Ἰταλικῦ μπαρίλε.

Βοΐζυν τ' αὐτίαμα, ἀντὶ βομβῦσι, παρὰ τὸ βυᾶν.

Βυκέντρα, ὀξὺ ξύλον, ἢ δόρυ, οἱῳδήτινι οἱ ἀροτριῶντες τὺς βόας κεντῦντες, ἐπὶ τὸ πονεῖν ἐρεθίζουσιν, ἀντὶ βύκεντρον.

Βῦλλα ἡ σφραγὶς ἀπὸ τῦ Ἰταλικῦ μπόλλα.

Βουτζέλα ἀντὶ βουττέλα παρὰ τὸ, βῦττις· βυτζέλι ἀντὶ βυττέλιον, τὸ ὑποκοριστικὸν τῆς Βυττέλας.

† Βαρυκὰ, οἱ χθαμαλοὶ τόποι, ἐν οἷς σπείρυσι τὰ ποτισμῦ χρήζοντα σπέρματα.

Βρακανῖδες, εἴδη ἀγρίων λαχάνων, βράκανα παρ' Ἡσυχίῳ.

Βρυκάζει, ἐπὶ τῆς φωνῆς τῶν βοῶν τὰ νῦν λέγεται, ταυτοσημάντως τοῖς, βρακανᾷν, βρυχᾶσθαι· μεταφορικῶς δὲ καὶ ἐπὶ ἀνθρώπυ, ὅτε ὑπὸ ἀθυμίας ὑπερβαλλύσης μετά τινος βρυγμῦ βαρυστενάζει· κατὰ τὸ.

„ ὑποσένασε ταῦρος ὡς μυκώμενος.

Βρακὶ βρακίον ὑποκοριστικῶς τῷ σχήματι, βρακία, ἀντὶ τῦ πρωτοτύπυ Αἰολικῶς βράκος βράκη, ἥ φησὶ Δ: ὁ Κοραῆς, τῦ κοινῶς ῥάκος· καθὰ καὶ βρόδον, ἀντὶ ῥόδον, ἔλεγον οἱ Αἰωλεῖς.

# Γ.

Γάειδαρος, ἐπώνυμον ὄνου, ἴσως ἀντὶ ἀείδαρος, ὡς ἀεὶ δαιρόμενος.

Γάννα, γαννωμένα ἀγγεῖα παρὰ τὸ γαννοῦν, τοῦ λευκαίνειν, ἢ τοῦ λάμπειν σημαντικόν.

ὡς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι.

καὶ Πλούταρχος ἔφη. „πᾶσα ἀνάγκη, τὸ γάννωμα τῆς „ψυχῆς, καὶ τὸ φέγγος ἀμβλύτητα, καὶ σύγχυσιν ἔχειν. Καταχρηστικῶς δὲ, γάννα, τὰ νῦν λέγεται καὶ ἡ ἀμαυρότης παρ' ἡμῖν· καὶ γαννωμένος ὁ ὑπὸ ἀσβόλου ἐρρυπωμένος, ἐκ μεταφορᾶς ἴσως τῆς ἀμαυρότητος, ἥπερ αἵ τε χεῖρες καὶ τὰ πρόσωπα τῶν τὰ ἀγγεῖα γαννούντων μολύνονται ἐκ τοῦ ἀναδιδομένου καπνοῦ· ἐξ οὗ μεταφορικῶς καὶ ἐπὶ τῶν ἀναισχυντούντων καὶ ἀσώτων φαμὲν, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„καὶ αὐτὸς τῆς πομπῆς, κ' ἐκεῖνος τῆς γάννας.

Γαργάρα, γαργάρα, ὁ περὶ τὴν σταφυλὴν τοῦ φάρυγγος ἀναβρασμὸς ποτοῦ τινος, ἀπὸ τοῦ γαργαρεών.

Γαργαλίζω, γαργαλίζω, καὶ Λουκιανὸς ἔφη· „οἶδα γοῦν τινας οὕτως ἡδέως γαργαλιζομένους, τὰ ὦτα ὑπὸ „τῶν διαβολῶν.



Γάρος, χυδαϊκῶς σαλαμῦρα, ὡς ϗ παρὰ Πλȣτάρχῳ. „εἶτα ὄψων πρὸς αὐτὸ τὸ κρέας δεόμεθα, ἀναμιγνύντες ἔλαι-„ον, οἶνον, μέλι, γάρον, ὄξος, ἡδύσμασι Συριακοῖς ϗ „Ἀραβικοῖς, ὥσπερ ὄντως νεκρὸν ἐνταφιάζοντες· ϗ Λȣκιανὸς „κρέας, λοπάδας, ζωμȣ̀ς, ἰχθῦς, τȣ̃το μὲν „γάρῳ ϗ ἐλαίῳ κατακειμένȣς, τȣ̃το δὲ νάπυϊ ἐπικεχυμένȣς.

Γάττα παρ' ἡμῖν, καλῶς δὲ παρ' ἄλλοις κάττα ἡ γαλῆ, ἀπὸ τȣ̃ κάττης, ὁ κατοικίδιος αἴλȣρος.

Γαυγίζει τὸ σκυλὶ· ὀνοματοποιηθὲν ἀπὸ τῆς ὑλακῆς αὐτȣ̃

Γδέρω, ϗ γδέρνω, ἀντὶ τȣ̃ ἐκδέρω.

Γȣ́γγος ϗ γόγγος, ὁ μωρὸς, ἀντὶ τȣ̃ γόγγων ὡς παρ' Ἡσυχίῳ· γόγγωνες, ϗ γιγνῶνες ϗ γιγῶνες ἐκαλȣ̃ντο τὸ πάλαι τὰ μωροειδῆ εἰδώλια Πριαπίσκων, Σατυρίσκων τε, ϗ ἄλλων δαιμονίων, ἐν διαφόροις τοῖς σχήμασιν, ἀσυμμέτροις τε τὰ μέλη, ϗ δυσειδεστάτοις, κατὰ μίμησιν τῶν Φοινικηΐων παταϊκῶν ἐξειργασμένα. οἷον τὸ ἐνταῦθα ὁμοίωμα· καθὰ ϗ Ἡρόδοτος ἔφη — „ἔστι γὰρ τȣ̃ Ἡφαίστȣ τὤγαλμα τοῖσι Φοινικηΐοισι παταϊκοῖσιν „ἐμφερέστατον . . . . . πυγμαίȣ ἀνδρὸς μίμησίς ἐστι. Καθιδρύοντο δὲ τὰ τοιαῦτα μορμολύκεια ὑπὸ τῶν ἀρχαίων ἐν τοῖς ταμείοις, ὡς οἰκȣροὶ δαίμονες, ϗ ἀλεξίκακοι λογιζόμενα.

Κατὰ συνέχειαν δὲ μιμήσεως ἀρχαίας, καίτοι ȣ̓κ ἐπὶ τῆς αὐτῆς δεισιδαιμονίας ϗ χρήσεως πλαττομένη, ὑποληπτέα ϗ ἡ παρ' ἡμῖν λεγομένη γγȣγγȣ̀, διά τε τὴν προσομοίωσιν τῆς φωνῆς, ϗ διὰ τὸν

πυγμαῖον καὶ δυσειδέστατον σχηματισμὸν ὅτω καλεῖσθαι,

Γδυμένος καὶ ἐγδυμένος, ἀντὶ ἐκδεδυμένος.

Γεμίζω μεταβατικῶς, οἷον, γέμισε τὸ ποτήρι· γεμίζομαι δὲ κατὰ μέσην διάθετιν· ὡς παρὰ Λȣκιανῷ — „ ἐγεμιζόμην ἀνθρωπείȣ τροφῆς.

Γιὰ, ἀντὶ τῆς διὰ, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ ἐσὲν τὸ λέγω πεθερὰ, γιὰ νὰ τ' ἀκούσῃ ἡ νύφη.

Γίδι, γίδιον, γίδια φαμὲν κατ' ἀφαίρεσιν τῆς αι ἀρχικῆς συλλαβῆς, ἀντὶ αἰγίδιον, αἰγίδα, καταχρώμενοι τῷ ὑποκοριστικῷ, ἀντὶ τȣ̃ αἶξ, αἶγες πρωτοτύπȣ. Τὸ κυρίως τύπῳ τε καὶ σημαινομένῳ τȣ̃, αἶξ, ὑποκοριστικὸν εὕρηται παρὰ τοῖς ἑβδομήκοντα, Βασ: ά. κεφ: 10. ὅτως „ ἕνα αἴροντα τρεῖα αἰγίδια, καὶ ἕνα „ αἴροντα τρεῖα ἀγγεῖα ἄρτων, καὶ ἕνα αἴροντα ἀσκὸν οἴνȣ" Ἡ συνήθεια, εἰ καὶ ἅπαν τὸ τῶν αἰγῶν γένος καταχρηστικῶς ἢ κατ' ἀφαίρεσιν γίδια ὀνομάζει, διΐστησι μέντοι ταῖς προσηγορίαις τὰ ἀρσενικὰ τῶν θηλυκῶν, τὰ μὲν τράγȣς καὶ τραγίȣ, τὰ δὲ γίδας καλȣ̃σα· τὰς γίδας οἱ παρ' ἡμῖν χωρικοὶ καὶ γαίγας Αἰολικῶς καλȣ̃σι.

Γέλιον παρὰ τὸ ποιητικῶς γέλος.

Γήτευμα, ἀντὶ τȣ̃ γοήτευμα ἀπὸ τοῦ γοητεύω

Γίνηκε, καὶ ἀπογίνηκε φαμὲν, ἀντὶ τȣ̃, ἐγένετο, καὶ ἀπεγένετο· κατὰ τὸ παρ' Ἡλιοδώρῳ „ ἐγένετό „ μοι καὶ γυνὴ νόμῳ τῆς πόλεως, καὶ ἀπεγένετο θεσμῷ τῆς „ φύσεως.

Γιορτὴ, ἀντὶ τῦ, ὁρτὴ Ἰωνικῶς, ἑορτὴ κοινῶς· σημείωσαι τὴν τῦ δασυνομένυ προφορὰν, ὁποία ἂν ἦν παρὰ τοῖς πάλαι· καὶ ἐν τῇ παροιμίᾳ. „ σάββατο, „ κυριακὴ, κοντὴ γιορτή.

Γιαμένον ἀγγεῖον, γιωμένον φαγὶ, ἀντὶ τῦ ἰωμένον, παρὰ τὸ, ἰὸς, ἡ τοῖς ἀγαννώτοις χαλκίνοις ἀγγείοις φύσει ἐπιπολάζουσα δυσώδης, καὶ βλαπτικὴ πικρία· ἧς δὴ μεταλαμβάνει καὶ τὰ αὐτοῖς ἐντιθέμενα.

Γκαρύζει, ἀντὶ τῦ γαρύζει· ἐπὶ τοῦ τῶν ὄνων ὀγκηθμῦ τὰ νῦν λέγεται, ἀντὶ τῦ ὀγκᾶται· τὸ πάλαι δὲ ἐπὶ βοῶν ἐλέγετο.

ὡς παρὰ Θεοκρίτῳ.

„ ἁδὺ δὲ χ᾽ ὁ μόσχος γαρύεται, ἁδὺ δὲ χ᾽ ἁ βῶς.

Γλάστρα παρ᾽ ἡμῖν, ὀρθῶς δὲ παρ᾽ ἄλλοις γάστρα, γάστραι, πήλινα ἀγγεῖα, πολλὴν ἔχοντα τὴν κοιλότητα, ἅπερ γεμίζοντες γῆς, φυτεύομεν τὰ ἰδιωτικῶς λεγόμενα λελέδια· γάστρα δὲ ἡ παρὰ τοῖς πάλαι, ὁ νάρθηξ, ἡ πυθμὴν, καὶ πᾶσα κοιλότης.

ὡς παρ᾽ Ὁμ: (Ὀδ: Θ.)

„ Γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ᾽ ὕδωρ.

Γλέπω φαφὲν, ἀντὶ βλέπω, κατὰ τὸ παρὰ τοῖς παλαι, γλέφαρα, ἀντὶ τῦ βλέφαρα.

Γλείφω, κακῶς τῦτο καὶ λέγομεν, καὶ γράφομεν,

ἀντὶ τοῦ λείχω· ἄλλο γὰρ τὸ γλύφω, ξέω, χαράττω, ἐξ οὗ γλύπτης, ὁ ἀνδριαντοποιός.

Γλίστρα μετὰ τοῦ ῑ, ἢ γλοίστρα μετὰ τῆς οι̅ διφθόγγου ὡς ἐν τῷ Α̅.

Γνέθω, ἢ ἀπὸ τοῦ νήθω, ἢ παρὰ τὸ γνάπτω· ἐξ οὗ γνέμμα.

ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ἀνακατομένα γνέμματα, κακοϋφασμένα πανιά.

Γογγύζω. καὶ Ἡλιόδ: ἔφη „καί τι καὶ πρὸς τοὺς παρόντας „ἠρέμα διαγογγύσαντα.

Γογγύλια λέγεται παρ' ἡμῖν τὰ κυκλοφερῆ κόμματα τοῦ ὀψαρίου, παρὰ τὸ γογγύλον, στρογγύλον· Γογγύλω κύριον ὄνομα παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς ἐπὶ γυναικῶν, ὡς καὶ παρὰ Ξενοφῶντι ἐπὶ ἀνδρῶν εὕρηται „ἐνταῦθα δὲ ξενοῦται Ξενοφῶν παρ Ἑλλάδι τῇ Γογ„γύλου τοῦ Ἐρετριέως γυναικί."

Γομάριον προσεπονομάζεται ὁ ὄνος, παρὰ τὸ γόμος, φόρτος, ἄχθος· ἐξ οὗ ῥῆμα γομαρίζει, ἀντὶ τοῦ ἀφρόνως πολιτεύεται ὄνου δίκην· Τὰ παρ' ἡμῖν φορτώματα, γομάρια παρ' ἄλλοις λέγεται.

Γονατίζω, ἐγονάτιτε, παρώκλασεν, ὡς παρ' Ἡσυχίῳ. ἐξ οὗ καὶ ἐπίρρημα τῆς συνηθείας, γονατιστά.

Γοργόν, ταχύ. καὶ Λουκιανός φησι „Καὶ χρή γε νῦν ἐπι„δεῖξαι, εἰ γέγονας παρὰ τοῖς ἐφήβοις γοργός.

Καὶ ἐν τῇ παροιμίᾳ.

„ τὸ γοργὸ καὶ χάριν ἔχει.

† Γοῦβα παρ' ἡμῖν, ἀντὶ τοῦ κοιλότης.

Γουδὶ παρ' ἡμῖν, γδὶ παρ' ἄλλοις, ἀντὶ τοῦ ἰγδίον, τὸ ὑποκοριστικὸν τοῦ ἴγδις, θυεία, τρίβαινα.

Γοῦνα, τὰ γόνατα παρὰ τοῖς ἀρχαίοις, καθὰ καὶ Ὅμηρος ἔφη.

„ στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
„ πήγνυται. . . . . . . . . . . . . .

Οἱ δὲ μεταγενέστεροι Ἕλληνες τὴν ἐπωμίδα, ἐπιγουνίδα ὠνόμαζον, ἀπᾴδοντες τῷ αὐτῷ ποιητῇ εἰπόντι.

„ οἵαν ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.

Τὰ νῦν δὲ γοῦνα, γοῦναι λέγονται τὰ συνεῤῥαμένα δέρματα, καθὰ καὶ Κωνσ. ὁ πορφυρογέννητος ἔφη „ καὶ γούνας ἑκατόν" καὶ ἐν τῇ παροιμίᾳ. — „ ἔχει „ ῥάμματα γιὰ τὴν γούνανσου.

Γουρούνι, ὀνοματοποίησις τῆς φωνῆς γου γου, καὶ ἐν ταῖς παροιμ:

„ ἀπὸ τὸ γουρούνι καὶ μιὰ τρίχα καλή 'ναι.
„ ἡ γρηὰ δὲν εἶχε διάβολον, κι' ἀγόρασε γουρούνι.

Γρατζουνίζω, ἀμύττω, τοῖς ὄνυξι σπαράττω, ἀντὶ τοῦ γραπτυνίζω παρὰ τὸ, γραπτὺς, ὡς παρ' Ὁμήρῳ (Ὀδ: ώ.)

„ . . . . . . . περὶ δὲ κνήμησι βοείας
„ κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων.

ἤγουν τὰς ἐξ ἀκανθῶν ξέσεις, ἰδιωτικῶς εἰπεῖν, γραπτυνίσματα, ἐξ οὗ καὶ τὸ παρ' ἡμῖν λεγόμενον,

γράπωμα, δηλωτικόν γε ὂν πόνε ἐσωτερικε τῶν ἐντοσθίων, οἱονεὶ ἀμυχῆς, σπαραγμε.

Γρίπος, γρίπος, εἶδος δικτύε. ἐξ ε καὶ Γριπεὺς ὁ ἁλιεὺς ὡς παρὰ Θεοκρίτῳ (εἰδ: ά.)

,, τοῖσι δὲ μέτα γριπεύς τε γέρων.

Γρυνιάζει, γρύνια, ἐπὶ κυνῶν λέγεται· ἐσθ' ὅτε καὶ ἐπὶ ἀνθρώπων μεταφορικῶς, παρὰ τὸ γρύζειν.

Γυνὶ, γυνίον, τὸ τε ἀρότρε σιδήριον, Αἰωλικᾶς φαμὲν ἀντὶ τε ὑνίον, τὸ ὑποκοριςικὸν τε ὕνις· καὶ ἐν ταῖς παροιμίαις.

,, κάνει τὸ γυνὶ βελόνια.
ηὗρ' ἡ νύφημας τὸ γυνὶ ὀπίσω ἀπὸ τὴ θύρα.

'Γὼ, ἀντὶ τε ἐγὼ κατ' ἀφαίρεσιν Ἰωνικῶς τε ἀρχικε φωνήεντος, καὶ ἐν τῇ παροιμίᾳ.

,, τί τῆς λέγω 'γὼ τῆς θειᾶς με, καὶ τί λέγ' ἐμέν' αὐτή.

Γαγγραίνα, ἀντὶ γάγγραινα, φαγέδαινα, οἱ δὲ, καρκῖνος, πολυδιάχυτον ἐν τῷ σώματι πάθος, καθά φησιν Ἡσύχιος.

---

προσθήκη.

Γερὸς, σῶος, εὔεκτος, ὑγιὴς, εὔρωςος, ἀντὶ τε, ὑγιειρός, οἷον, γερός εἶσαι; ἀντὶ ὑγιειρὸς εἶ; γερὸς

ανδρας εἶναι, ἀντὶ ἔυρωστος· ὅλα γερά ʼναι, ἀντὶ τῦ σῶα· καὶ γερὸ ξύλο, ἀντὶ στερεόν.

Γιώμα, ἀντὶ τῦ γεῦμα· Ἰωνικῆς δοκεῖ τὸ γιώμα προφορᾶς, καθὰ καὶ τὸ θώϋμα, ἀντὶ τῦ θαῦμα.

Γλυτρόνω, παρατροπῆ τῶν συλλαβῶν, ἀντὶ λυτρῦμαι.

Γῦρνα, παρὰ τὸ Ἰταλιςὶ ῦρνα.

Γυρεύω, ἀντὶ ζητῶ, ἰχνηλατῶ· γυρίζω, ἀντὶ τοῦ ςρέφω· γυρίζω ἀντὶ τῦ ἐπανακάμπτω· γυρίζω ἐδῶ κ' ἐκεῖ, ἀντὶ τῦ περιέρχομαι· ἀπὸ τῦ, γυρόω, παράγονται.

# Δ

Δά, μόριον τῆς συνηθείας, οἷον, τὶ δὰ φαντάζεσαι καὶ σύ· ἴσως ἀντὶ τȣ̃ δή, οἷον δεῦρο δὴ, ἔλα δά.

Δαγκάνω ἀπὸ τȣ̃ δήκω, καθὰ καὶ τὸ λανθάνω ἀπὸ τȣ̃ λήθω, καὶ λαμβάνω ἀπὸ τȣ̃ λήβω.

Δαδί, δαδίον ὑποκοριςικῶς ἀντὶ τȣ̃ δάς· δαδίον κυρίως τὰ νῦν λέγεται τὸ τῆς πεύκης ῥητινῶδες ξύλον, τὸ εὐέξαπτον, καὶ πρὸς φέγγος ἐπιτήδειον· τὸ δὲ παρὰ τοῖς πάλαι, δάς, σημαντικὸν λαμπάδος.

ὡς παρ' Ὁμήρῳ.

„ Νύμφας δ' ἐκ θαλάμων, δαΐδων ὑπολαμπομενάων.

καὶ Λȣκιανὸς ἔφη — „ ἀλλ' ὑπὸ λαμπρᾷ τῇ δαδὶ καὶ „ αὐτοῖς τετελεσμένοις.

Δαίρνω, παρενθέσει τȣ̃ ν ἀντὶ τȣ̃ δαίρω.

Δαυλίον δαυλὶ ὑποκοριςικῶς φαμὲν, ἀντὶ τȣ̃ δαυλὸς Ἰωνικῶς.

Δὲν, ἀπὸ τȣ̃ ȣ̓δὲν, ἀποβολῇ τῆς ἀρχικῆς ȣ, ἀντὶ τȣ̃, ȣ̓κ· Ὅτι δὲ τὸ, ȣ̓δὲν, ἐτύγχανε κατ' Ἀττικισμὸν παρὰ τοῖς πάλαι καὶ ἀντὶ τȣ̃, ȣ̓, ἐκλαμβανόμενον, μαρτυρεῖ Ξενοφῶν λέγων, „ εἰ δὲ ὑ- „μᾶς τάττετέμε ἡγεῖσθαι, ȣ̓δὲν προφασίζομαι τὴν ἡλικίαν,

„ ἀλλὰ καὶ ἀκμάζειν ἥγȣμαι“ ἀντὶ τȣ͂, ȣ̓ προφασίζομαι· ὅπερ παραχαράξασα ἡ συνήθεια, δὲν, φησί.

Δένω, παρενθέσει τȣ͂ ν ἀντὶ τȣ͂ δέω.

Δερμάτι δερμάτιον, ὁ μικρὸς ἀσκὸς, παρὰ τὸ δέρμα.

Διαβάζω, ἀντὶ τȣ͂, διέρχομαι, ἀναγινώσκω, ἴσως παρὰ τὸ ποιητικῶς βάζω, τὸ λέγω, καὶ τὴν δια πρόθεσιν· ὁ γὰρ ἀναγινώσκων, ὡς ἐπὶ τὸ πλεῖστον, φωνῇ διέρχεται τὰ γραφόμενα· ἢ παρὰ τὸ διαβιβάζω.

† Διαγȣμίζω, ἀντὶ τȣ͂ πορθῶ, σκυλεύω, λεηλατῶ.

Διάδικος φαμὲν, ἀντὶ ἐχθρὸς, ἀντιλέγων· οἷον, τὸν ἔχω διάδικον, ἐκ μεταφορᾶς τῆς περὶ τὰς δίκας ἀμφισβητήσεως.

Διαλέγω, ἀντὶ τȣ͂ ἐκλέγω, καθαρίζω· οἷον, διαλέγω ῥόιζι, φακαῖς. Εὕρηται καὶ παρ' Ἡσυχίῳ τὸ διαλέγω ἀντὶ τȣ͂ ἀνακαθαίρω· καὶ τὴν ἐκλογὴν, διάλεγμα, διάλεξιν, καὶ διαλεγὴν καλȣ͂μεν, οἷον, ποῖος σ' ἔβαλε στὴν διαλεγήν.

καὶ ἐν τῇ παροιμίᾳ.

„ ἔμπα στὰ γυφτόπουλα, καὶ διάλεξε τ' ἀσπρότερο.

† Διακονάρης, ὁ καὶ ζητȣλιάρης· καὶ ἐν τῇ παροιμίᾳ.

„ τȣ͂ διακονάρη κομμάτια, κὶ ὄχι πόρτιαις.

Διάςρα, ἡ ὑφάντρια, καὶ το διάζεσθαι ἐπὶ ταλασιες γίας καὶ νῦν λέγεται.

Διαφέρομαι, μάχομαι, φιλονεικῶ, ἐξ ὃ διαφορὰ ἡ ἔχθρα· ἐπὶ τῆς αὐτῆς σημασίας διετήρησε καὶ ἡ συνήθεια τὸ διαφέρομαι, οἷον, εἰς τί διαφέρεσθε; τί ἦναι ἡ διαφοράσας;

Διάφορον· πολλὰ ἦν τὅτε παρὰ τοῖς ἀρχαίοις τὰ σημαινόμενα· ἡ δὲ συνήθεια ἐκλαμβάνει αὐτὸ ἀντὶ τὸ, κέρδος, ἴσως παρὰ τὸ, ἢ φησιν Ἡσύχιος, διαφέρει, ἀνήκει, τὅτέςι τὸ ἐκ τῆς πραγματείας, ἢ τὸ τόκε ἀνῆκον.

Δίβουλος, καὶ τρίβουλος, φαμὲν, ὁ διπλὸς, καὶ τριπλὸς τὴν διάθεσιν· καὶ Ἡσύχιος ἔφη. „διάβολοι, διπλοῖ, δίβολοι.

Δίκ, δίκ, καὶ χυδαιοτέρως ντίκ, παρὰ τὸ δίκω, τὸ κεντῶ.

Δικὸς, οἰκεῖος, σφέτερος, ἀντὶ τὸ ἰδικός.

Διορία, Διορία.

Δίκουρον, καὶ τρίκουρον, παρὰ τὸ δὶς, τρὶς, καὶ τὸ κουρά.

Δίμιτον, τὸ ἐκ δύο μίτων ὕφασμα.

† Δραγάτης, ὁ ἀμπελοφύλαξ, καὶ ἐν τῇ παροιμίᾳ.

„βάλλε τὸν λύκον ποιμενικὸν, καὶ τὸν σκύλον δραγάτην,

Δραγωμᾶνος, ὁ διερμηνευτής. Πρὸ ἐννέα ἑκατονταετηρίδων ἡ χρῆσις αὐτῆς τῆς βαρβάρε Ἀσιατικῆς λέξεως, ὡς τὸ „ὁ μέγας διερμηνευτὴς πρῶτος ἐςὶ τῶν ἐρ-

„ μηνέων, ὡς κοινῶς ὀνομάζομεν δραγωμάνες. καὶ τὸ —
„ αἰχμάλωτος καὶ τῆς ἐκ τῆς διαλέκτε ταύτης τῷ Βασιλεῖ
„ ἐντυχάνων, δραγωμανίζων τηνικαῦτα γενόμενος.

---

## Προσθήκη.

Δάσος, δάσος, ὁ δασὺς καὶ σύνδενδρος τόπος, νάπος δὲ παρὰ Ξενοφῶντι· ὡς τὸ, „ καὶ ὅς ἡγεῖτο, „ παραγγείλας διαβαίνειν, ᾗ ἕκαςος ἐτύγχανε τοῦ νά- „ πες ὤν.

Δεφτέρι, δεφτέρια παρ' ἡμῖν, τεφτέρια παρ' ἄλλοις, τὰ κατάςιχα, τὰ δοσοληψίας καὶ λογαριασμῶν βιβλία· Δεφτέρια, ἀντὶ τε̃, διφθέρια, παρὰ τὸ διφθέραι, τὰ τῶν ζώων δέρματα, ἧφησιν ὁ Κοραῆς (σημ: εἰς τὴν Αἰλιανε̃ ποικ: ἱςορ: σελ: 318) διὰ τὸ ἐπὶ δερμάτων γράφειν τὲς πάλαι· μαρτύριον δὲ τέτε ἐςὶ τὰ ἔτι σωζόμενα χειρόγραφα βιβλία, ἐπὶ δερμάτων τῶν ἰδιωτικῶς μεμβράνων ὄντα γεγραμμένα· Καὶ Νικόλαος ὁ Δαμασκηνὸς ἔφη „ τὴν δὲ „ ἐπιςολὴν Ἑλληνίζειν ἐν διφθέρᾳ γεγραμμένην· Καὶ Ἡσύχιος ἐν τῇ λέξει, „ Διφθεράλοιφος γραμματοδιδάσκαλος παρὰ „ Κυπρίοις, (γραπτέον ἴσως διφθεράλειφος ὁ ἀλείπτης τῶν διφθερῶν, τετέςιν ὁ ἐπαλείφων τὲς παῖδας εἰς τὴν ἀνάγνωσιν τῶν διφθερῶν, ἤγεν τῶν βιβλίων.) ἀλλά γε καὶ ἡ βιβλίε λέξις ἀπὸ τε̃ φυτε̃, Βίβλος, λεγομένε παράγωγός ἐςι.

Δοκανίκι, δοκανίκιον, τὸ ὑποκοριστικὸν τῆς δοκȣ̃. Δοκανίκια αἱ μικραὶ ῥάβδοι, αἷς ἐπιστηρίζονται οἱ γέροντες.

Δοξάριον, φαμὲν, τροπῇ τȣ̃ τ εἰς δ, ἀντὶ τȣ̃ τοξάριον, τὸ ὑποκοριστικὸν τȣ̃ τόξȣ· Φαίνεται ἐν τῇ τοιαύτῃ τροπῇ ἡ τῶν ἀρχαίων χρῆσις τȣ̃ κατά τινα κοινωνίαν τȣ̃ τ, πρὸς τὸ δ ἐκλαμβάνειν ἑκάτερον τȣ́των, ἀντὶ θατέρȣ· οἷον, δηλαυγῶς, ἀντὶ τηλαυγῶς. Τηλέφιλον, ἀντὶ τȣ̃ δηλέφιλον· ȣ̃τω τοιγαρȣ̃ν καὶ δοξάριον, ἀντὶ τȣ̃ τοξάριον· Δοξάριον δὲ κυρίως τὸ δόξης ὑποκοριστικὸν, ὡς παρὰ Λȣκιανῷ. „τὸ δύστηνον ἐκεῖνο δοξάριον προετίμων τȣ̃ βίȣ.

Δρένιο ξύλο, ἀντὶ δρύϊνον, παρὰ τῆς κυρίως δρυός.

# Ε.

Ε'γδυμένος, ἀντὶ τȣ̃ ἐκδεδυμένος.

Ε'γκαρδιόνω, παραθαῤῥύνω, παρὰ τὸ ἐγκάρδιον, τὸ ἐξ ἰσχυρᾶς διαθέσεως γινόμενον τῇ καρδίᾳ.

Ε'δῶ· ἀντιςρόφως δοκεῖ παρασχηματιϑῆναι ἀντὶ τȣ̃ ὧδε.

Ε'κάη, καλῶς λέγομεν ἀπὸ τȣ̃ κάω Α'ττικῶς.

καὶ ἐν ταῖς παροιμίαις.

,, Γειτόνισσα ἐκάη τὸ σπήτισȣ· ἐγὼ ʼχω τὰ κλειδιά.

Ε'͂λα, παρακελευσματικὸν τῆς συνηθείας ἐπίῤῥημα, οἷον, ἔλα λέγε, ὅ,τι θέλεις, ἰσοδυναμȣ̃ν τοῖς, ἄγε, εἶα· κατὰ τὸ παρὰ Θεοκρίτῳ ,, εἶα λέγ', ἔτι λέγεις· Ε'͂λα καὶ ἀντὶ τȣ̃ δεῦρο, οἷον, ἔλα ἐδῶ, δεῦρο ὧδε. παρὰ δὲ τοῖς ἀρχαίοις ποιηταῖς τὸ ἔλα, ἀντὶ τȣ̃ πρόκρινε, εὕρηται.

Ε'͂μμορφον, καὶ ὄμορφον, κατ' ἄμφω ἐσφαλμένως καὶ γράφεται καὶ ἐκφέρεται· τὸ γὰρ ἔμμορφον δηλωτικὸν τȣ̃ ἐν μορφῇ ὄντος, τὸ δὲ ὄμορφον μετὰ τȣ̃ ω γραπτέον, ἤγȣν Ι'ωνικῇ τροπῇ τῆς ευ διφθόγγȣ εἰς ω μέγα, ὤμορφον, ἀντὶ τȣ̃ εὔμορφον, κατὰ τὸ ἐκπλώσας, ἀντὶ ἐκπλεύσας.

Ἐμπερδειω, ἀντὶ τϋ ἐμπεριδέω, παρὰ τὰς δύο ἐν καὶ περὶ προθέσεις, καὶ τὸ δέω, δεσμῶ. Ἐμπερδεμένος, καὶ ἐμπερδευμένος, ἀντὶ ἐμπεριδεδεμένος.

Ἐμπόλι, ἐμπολιάζω, ἀντὶ τϋ ἐμβόλιον, ἐμβολιάζω, παρὰ τὸ ἐμβάλλειν, τὸ ἐγκεντρίζειν. καὶ Ἀριστοφάνης ειπεν.

„ἐμβολάδας ἀπίϋς.

Ὁ ἐγκεντρισμὸς διττῷ ἐκτελεῖται τῷ τρόπῳ· πρῶτον μὲν ἐν ἀρχῇ τϋ ἔαρος, σχιζομένϋ τϋ ἤδη κεκομμένϋ τῶν ἀκάρπων δένδρων κορμϋ, καὶ ἐν τῷ σχίσματι ἐμβαλλομένϋ ἀκροδρύϋ ἐκ τῶν καρπίμων· δεύτερον δὲ ἐν ἀρχῇ τϋ θέρϋς χαραττομένης τῆς τῶν ἀκάρπων φλοιᾶς, καὶ ἐν τῷ χαράγματι ἐντιθεμένης ἑτέρας ἐκ τῶν εὐκάρπων. ϋχ ἁπλῶς μέν τοι ἀλλὰ τοιαύτης, ἥτις ἂν ἀκέραιον ἔχῃ τὸ πρὸς τῷ φύλλῳ ὄμμα λεγόμενον· ὁ δεύτερος ϋτος τρόπος ἐνοφθαλμισμὸς παρὰ Πλϋτάρχϋ ἐν τοῖς συμποσιακοῖς καλεῖται, ὧδέπως εἰπόντος· Σώπατρος ἑστιῶν
„ἡμᾶς ἐν κήποις, ὑπὸ τϋ Κηφισϋ ποταμϋ περιῤῥεομένοις,
„ἐπιδείκνυτο δένδρα παντοδαπῶς πεποικιλμένα τοῖς λεγομένοις
„ἐνοφθαλμισμοῖς· καὶ γὰρ ἐκ σχοίνων ἐλαίας ἀναβλαστανϋσας
„ἑωρῶμεν, καὶ ῥοιὰς ἐκ μυῤῥίνης· ἦσαν δὲ καὶ δρύες ἀπί-
„ϋς ἀγαθὰς ἐκφέρουσαι, καὶ πλάτανοι μηλέων δεδεγμέναι,
„καὶ συκαῖ μορέων ἐμβολάδας. ἄλλαι τε μίξεις φυτῶν, κε-
„κρατημένων ἄχρι καρπογονίας. "

Ἔντεσα καλὰ, ἢ κακὰ, ἀντὶ ἤντησα ἀγαθῇ, ἢ κακῇ τύχῃ.

Ἐντόπιος, ἐντόπιος, αὐτόχθων, ὡς τὸ, ἐντόπιοι θεοί.

Ἐντρέπομαι, ἐντρέπομαι, ὡς παρ' Ὁμήρῳ. (Ιλ.)

„ οὕτω δὴ, Μελάνιππε μεθήσωμεν, οὐδέ νυ σοί περ
„ ἐντρέπεται φίλον ἦτορ, ἀνεψιοῦ κταμένοιο.

Ἐντροπαλὸς ἀπὸ τοῦ ἐντροπαλίζεσθαι.

Ἐξερνάω, παρενθέσει τοῦ ν, ἀντὶ ἐξεράω. ὅπερ οὐκ ἀπολείπεσθαι δοκεῖμοι τῆς Ὁμηρικῆς Φράσεως τοῦ „ἐξ ἔρον ἕντο, διαφόρως καὶ παρὰ τῷ Ποιητῇ νοουμένου, οἷον, ἐξ ἔρον ἕντο, ἀντὶ τοῦ, χορτασθέντες, ἀφῆκαν, ἐξέβαλον τὸν ἔρον τῆς τροφῆς· τὸ δὲ „ἐπήν γόου ἐξ „ἔρον εἵην“ κατάπαυσιν σημαίνει τοῦ γόου, ἐκβληθέντος τοῦ τῆς θρηνῳδίας ἔρου· καὶ αὐτὸ δὴ τὸ ἐξεράω, οὗ ὁ ἀόριστος ἐξέρασε, δηλωτικὸν ἐμμετικῆς ἐκβολῆς τοῦ προϋπάρξαντος τῶν βρωμάτων ἔρου.

Ἐξοδιάζω, ἐπὶ τοῦ δαπανᾷν καὶ νῦν ἐκλαμβάνεται, οἷον πολλὰ ἐξοδιάζεις· καὶ, πολλὰ ἐξωδιάσθηκαν, καθὰ καὶ παρὰ τοῖς ἑβδομήκοντα Βασ. δ' κεφ 12. „ εἰς πάντα ὅσα ἐξωδιάσθη ἐπὶ τὸν οἶκον τοῦ κραταιῶσαι,, ἐξ οὗ ἐξοδία, καὶ ἰδιωτικῶς ἐξοδιὰ ἡ δαπάνη· λέγεται καὶ ἐξοδεύω.

Ἐξάγιον, καὶ χυδαϊκῶς ζάγι, μέτρον ἀλεύρου τῷ μυλωθρῷ ἀνῆκον.

καὶ ἐν τῇ παροιμίᾳ.

„ὁ κακὺς ὁ μύλος ἔχει καὶ κακὸ ξάγι.

Ἐξόδιον, καὶ χυδαϊκῶς ξόδι, ἡ τῦ νεκρῦ ἐκφορά. ἔτι δὲ καὶ ἡ τῶν συγγενῶν καὶ φίλων ἐν ταῖς πενθίμοις ἡμέραις εἰς τὴν τῦ ἀποθανόντος οἰκίαν συνέλευσις ξόδι παρ' ἡμῖν λέγεται·

Ἐξόμπλιον, ἴσον, ὅμοιον, παρὰ τὸ Λατινιςὶ, ἐξάμπλυμ. ἐξ ῦ καὶ ῥῆμα τῆς συνηθείας ἐξομπλιάζω, ὅμοιον ἐξεργάζομαι.

Ἐρχόμεθε κ' ἐμεῖς, Αἰωλικῶς φαμὲν, ἀντὶ τῦ ἐρχόμεθα, καθὰ καὶ ἀφανιζόμεθεν, μετωριζόμεθεν. καὶ ἄλλα, ἀντὶ τῦ, ἀφανιζόμεθα, μετεωριζόμεθα.

Ἔρωτας, ἀντὶ Ἔρως. Ἔνιοι ἐδόξαζον ἕνα Ἔρωτα, ἄλλοι δὲ δύω, ὡς Ἀνακρέων (μέλ: νά) Ἔρως, Ἵμερος γελῶντες.

Καὶ Λυκιανὸς „θάῤῥει γε τύτυ ἕνεκα, παῖδε μοι ἐςὸν „δύω καλὼ, Ἵμερος καὶ Ἔρως." ἢ τρεῖς ὡς παρὰ Παυσανίᾳ „Ἔρως, Ἵμερος, Πόθος εἴδη διάφορά ἐςι, κα„τὰ ταυτὰ τοῖς ὀνόμασι, καὶ τὰ ἔργα σφίσι." καὶ ἐν τῷ ναῷ τῆς Ἀφροδίτης παρὰ Μεγαρεῦσιν ἵςαντο τρία ἀγάλματα Ἐρώτων, ἔργον τῦ Σκοπᾶ, ἓν τῦ καθ' αὑτὸ Ἔρωτος, δεύτερον Ἱμέρυ, τρίτον Πόθυ,

καὶ ἐν ἐπιγράμματι.

„τρεισαὶ μὲν Χάριτες· τρεῖς δὲ γλυκυπάρθενοι ὧραι.
τρεῖς δέ με θηλυμανεῖς οἰςροβολῦσι Πόθοι.

Ε'τζι, ἀντὶ τȣ̃ ȣ̔́τως· ȣ̓κ ἔχω εἰπεῖν, πόθεν αὐτὸ τὸ βαρβαρόμορφον τῆς χυδαιότητος ἐπίῤῥημα, πλὴν, εἰ μή τις τὸ ἐν τῷ Ο῾μηρικῷ ςίχῳ τῷδε, ἔτι,

„ εἴ με Ε'τι γνοίη ἀργὸν.

ἀντὶ τȣ̃, ȣ̔́τως, ἐκλαμβανόμενον ὑπολάβοι.

Ε'τζίκνωσεν, ἀντὶ ἐζίκνωσει, ἐπὶ βλάβης ἑψομένȣ ἐδέσματος λέγεται, οἷον ἐτζίκνωσε τὸ φαγί· Μεταφορικῶς δ' ἐν χρήσει καὶ ἐπὶ σκυθρωπότητος.

Ε῎υκαιρον· ἐξέλαβε τȣ̃το ἡ χυδαιότης πάνυ καταχρηςικῶς ἀντὶ τȣ̃, κενὸν, καὶ ἐν τῇ παροιμίᾳ.

„Ε῎υκαιρο μανδρὶ γεμάτο λύκȣς.

---

Προσθήκη.

Ε'ιδῶ· νὰ εἰδῶ, ἵνα εἰδῶ, μάθω, γνώσωμαι· οἷον ὑπάγω νὰ εἰδῶ, τί γίνεται. — „ πάγαινε νὰ εἰδῇς, τί κάμνει ὁ ἄῤῥωςος.

Εἰδέω, εἰδῶ τὸ θέμα, ὁ μέλλων εἰδήσω, ὁ παρ. εἴδηκα, τὸ ἀπαρ: εἰδηκέναι, ἡ μετοχ: εἰδηκὼς, καὶ κατὰ συγκοπὴν εἰδέναι, εἰδὼς.

ὡς παρ᾽ Ο῾μήρῳ.

„ ὄφρ᾽ εἰδῇς γλαυκῶπις, ὅτ᾽ ἂν σῷ πατρὶ μάχηαι.

Τούτȣ τȣ̃ ῥήματος μόνη ἡ ὑποτακτικὴ σώζεται ἔγκλισις παρὰ τῇ συνηθείᾳ, νὰ εἰδῶ, νὰ εἰδῇς, νὰ εἰδῇ· πολλοὶ δὲ μὴ προσέχοντες τῇ ὀρθογραφίᾳ, γράφομεν κακῶς μετὰ τȣ̃ ῑ νὰ ἰδῶ, καὶ ταῦτα

εἰδότες, ὅτι τὸ τȣ͂ ἴδω ὑποτακτικὸν βαρύνεται, καὶ ȣ̓ περισπᾶται· ὡς τὸ „ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐ„τȣ͂ τὸν τύπον τῶν ἥλων· Α῎λλως καὶ τῷ ὀφθαλμοῖς ἰδεῖν μόνῳ ȣ̓ δυνάμεθα εἰδέναι τὰ ἤδη πραχθέντα, ἢ τὴν κατάςασιν τȣ͂ ἀῤῥώςȣ, ἐὰν μὴ ἐρωτήσαντες μάθωμεν παρὰ τῶν εἰδότων· Ο῞θεν σὺ ὁ ἀρχάριος μαθητὴς συνήθιζε καὶ νὰ προφέρῃς καὶ νὰ γράφῃς, τὸ μὲν τῆς εἰδήσεως σημαντικὸν, εἰδῶ, μετὰ τȣ͂ ει, καὶ περισπαμένως· τὸ δὲ τῆς ὁράσεως, ἴδω, ἴδῃς, ἴδῃ, μετὰ τȣ͂ ι, καὶ βαρυτόνως, οἷον „ὑπάγω νὰ „ἴδω τὴν νέαν ἐκκλησίαν“ (καὶ ὄχι νὰ ἰδῶ)

Ε᾿μπόλια, καὶ βαρβαρικωτέρως παῤ ἡμῖν, Ο᾿μπόλια λέγεται, γυναικεῖος τις τῆς κεφαλῆς ἀνάδεσμος, ἀντὶ τȣ͂ ἐμβολία, παρὰ τὸ ἐμβολὶς, τὸ περίθετον, ᾗ φησιν Η῾σύχιος.

Ε᾿πὶ πόδα ἀναχωρεῖν, Ε῾λληνικὴ φράσις ἐπὶ τῆς τακτικῆς· ȣ̓ τῶν περιττῶν ἔδοξέ μοι καὶ ταύτην ἐνταῦθα καταχωρῖσαι, τῶν φιλομαθῶν νέων ἕνεκα· μέρος γὰρ καὶ τοῦτο τῆς τακτικῆς, τὸ τȣ̀ς ἡττημένȣς μὴ φυγῇ ἀτάκτῳ, μηδὲ νωτοςροφȣ͂ντας, ἀπὸ τῆς μάχης ἀναχωρεῖν, ἀλλ᾿ ἐπὶ πόδα, τȣ̓τέςι πλαγίᾳ καὶ λοξῇ τῇ ἀποχωρήσει, πάσχοντας μὲν κακῶς ἐν τȣ́τῳ, ἀντιποιȣ͂ντας δὲ κακὸν ἐν τῷ μέρει καὶ τοῖς νικηταῖς ἑπομένοις, ὅπως, ὅσον οἷόν τε, μεῖον ἐν τῇ ἀποχωρήσει πάσχωσι. Καὶ Ξενοφῶν

ἔφη „ καὶ αὐτοὶ ἐπὶ πόδα ἀνεχώρησαν βαλλόμενοι οἱ βοηθή-
„ σαντες, καὶ ἀντιτοξεύοντές τινες τῶν Κρητῶν.

Ἐπίσομα, ἐπιῤῥηματικῶς φαμὲν, ἀντὶ τοῦ ἐπὶ σόμα, καὶ χυδαϊκῇ ἀποβολῇ τοῦ ε πίσομα, καὶ βαρβαρικωτέρως ταπίσεμα. Καλῶς τοῦτο σημειωσάμενος ὁ Κοραῆς (σελ: 300: σημ: εἰς τὴν Αἰλιανοῦ ποικ: ις:) ἔφη. „ ἔσωσε τοῦτο καὶ ἡ συνήθεια, εἰς ἐπίῤῥημα
„ τρέψασα τὸ ἐπίσομα, ὅπερ οἱ εἰς τὸ χυδαιέσερον καταφερό-
„ μενοι, πίσομα, καὶ πίσεμα λέγουσι. Προσημειωτέα καὶ αὐτοῦ τοῦ Αἰλιανοῦ ἡ φράσις ὧδέ πως ἔχουσα —
„ Ἀρισοτέλης δὲ τὴν ἑαυτοῦ πατρίδα, οὐ τὸ λεγόμενον δὴ τοῦ-
„ το, εἰς γόνυ πεσοῦσαν, ἀλλ᾽ ἐπὶ σόμα, ἀνέσησεν αὖθις.

Ἐρημάζω, μεταβατικῶς τὰ νῦν λέγεται, ἀντὶ τοῦ, ἐρημόν τινα ἀποκαθίσημι, ἢ ἀνάσατίν τινα ποιῶ χώραν· παρὰ δὲ τοῖς ἀρχαίοις ἀμεταβάτως ἐτύγχανεν ἐκλαμβανόμενον, ἀντὶ τοῦ ἐν ἐρημίᾳ διάγω, ὡς παρὰ Λαερτίῳ ἐν τῷ Πύῤῥωνος „ ἐκπατεῖν τε αὐτὸν
„ καὶ ἐρημάζειν, σπανίως ποτὲ ἐπιφαινόμενον τοῖς οἴκοι.

καὶ παρὰ Θεοκρίτῳ (εἰδ: κζ΄)

„ Κάσωρ δ᾽ αἰολόπωλος, ὅ, τ᾽ οἰνωπὸς Πολυδεύκης
„ ἄμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων.

Ἐφέτος, ἐπιῤῥηματικῶς τοῦτο φαμὲν, ἀντὶ τοῦ, τοῦτον τὸν χρόνον, τοῦτο τὸ ἔτος· ἴσως (ὅπερ καὶ ἐκ αἰπί-

θανον) ἀντὶ τοῦ, ἐπέτος, τροπῇ Αἰολικᾶς τοῦ π εἰς φ, ἐξ οὗ τὸ, ἐπέτειοι καρποὶ, τουτέστιν οἱ τοῦ ἐνεστῶτος χρόνου καρποί. Ἐχρήσατο τῇ λέξει καὶ Ἰωσήφ ὁ Βρυέννιος ὧδέπως — „καὶ τὰ πέρυσι βέλτιστα τῶν „ἠθῶν, οὐδαμοῦ δίδωσι τὸ ἐφέτος ὁρᾷν.“

Ἐντροπιάζω ῥῆμα τῆς συνηθείας ταὐτοδύναμον τῷ παρὰ τοῖς πάλαι καταισχύνω.

## Z.

**Z**αβιὰ παρ' ἡμῖν, ἀντὶ τȣ̃ πανȣργία, ἀπάτη, ἴσως παρὰ τὸ Ζαβάλλειν, ἐξαπατᾷν, πανουργεύεσθαι· παρ' ἄλλοις δὲ ἀντὶ τȣ̃ μωρία λέγεται· δοκεῖ ὅμως ὀρθοτέρα ἡ πρώτη σημασία.

Ζακόνι, ἀντὶ νόμος, ἔθος· Σλαβωνικὴ ἡ λέξις, ἐν τῇ διαφθορᾷ δὲ τȣ̃ Ἑλληνισμȣ̃ εἰσέφρησε καὶ αὐτὴ ἤδη πρὸ πολλῶν αἰώνων, ὡς εὕρηται καὶ παρὰ τῷ Πορφυρογεννήτῳ.

Ζαλίζεται παρὰ τὸ ζάλη· ἥτις πρὸς τοῖς ἄλλοις σημαινομένοις καὶ τῆς ἐν τῇ ψυχῇ προσγινομένης ταραχῆς ἐϛὶ σημαντική.

Ζαρκάδιον, ἀντὶ ζορκάδιον, ἡ δορκάς· Ζόρξ γὰρ ἡλικία δορκάδων, ὡς παρὰ Πλȣτάρχῳ „ἐπὶ τὸ „καλούμενον αἰγός, ἢ Ζορκὸς ἕλος"

† Ζαρόνει — „Ζερβὸς — „Ζίφω. — „Ζȣλίζω — „Ζȣ̃τζα.

Ζέσα, θερμότης· ζεϛὸν τὸ μετρίως θερμὸν καὶ ȣ̉χὶ καυϛικὸν, παρὰ τὸ ζέω, θερμαίνω. εὕρηται καὶ παρὰ τῇ ἀποκαλύψει ἡ λέξις· „ὅτι ψυχρὸς εἶ, ȣ̈τε „ζεϛός."

Ζητȣλιάρης καὶ ζήτȣλας, παρὰ τὸ ζητεύω, τὸ ζητῶ

ἐλεημοσύνην· ὡς παρ' Ὁμήρῳ ἐν τῷ Ἀπόλλωνος ὕμνῳ,

„Ζητεύων κατὰ γαίαν ἔβης ἑκατηβόλ' Ἄπολλον.

† Ζȣ̃ζα, παρ' ἡμῖν, ἀντὶ τȣ̃ θεραπαινίδιον

† Ζȣρλὸς ὀλιγόφρων· καὶ ἐν ταῖς παροιμίαις.

„ηὕραμαν ζουρλὸν παππὰν, κὶ ὅλη μέρα ψάλλομεν.
„σὰν ὁ ζουρλὸς τὸ τύμπανον.
„σὸν ζουρλὸν καὶ λαβωμένον μου ὁ λάκος ὅ, τι κάμῃ.

Ζώσιμος, κύριον ὄνομα καὶ νῦν ἐστι, ὡς καὶ τὸ πάλαι· καὶ παρ' Εὐδοκίᾳ τῇ Βασιλίσσῃ ὧδέπως „Ζώσιμος „Γαζαῖος, ἢ Ἀσκαλωνίτης σοφιστὴς κατὰ τȣ̀ς χρόνȣς Ἀνα„στασίȣ. —" καὶ Ζώσιμος „Ἀλεξανδρεὺς φιλόσοφος,

Ζευγᾶς ὁ ζευγίτης, καὶ ἐν τῇ παροιμίᾳ.

„ἢ παππᾶς, παππᾶς, ἢ ζευγᾶς ζευγᾶς.

Ζευγαρόνω, ἀντὶ τȣ̃ ἁρμόττω, συνδυάζω, ἐκ μεταφορᾶς τῆς ἐν τῷ ζεύγειν ἐμφαινομένης ὁμοιότητος τῶν ὑποζυγίων.

Ζυγόνω, ἀντὶ τȣ̃ πλησιάζω. καὶ τȣ̃το γε ἀπὸ τȣ̃ ζεύγȣς παραγόμενον δοκεῖ, τȣτέστιν ἀπὸ τῆς πλησιότητος τῶν ὑποζυγίων.

Ζαφείρω, κύριον γυναικεῖον ὄνομα παρ' ἡμῖν, ἀντὶ τȣ̃ Σαπφείρω, ἢ Σαπφείρα, ὡς παρὰ τῷ Ἀποστόλῳ Λȣκᾷ ἐν ταῖς πράξεσι (κεφ: ε) „ἀνὴρ δέ τις Ἀνα„νίας ὀνόματι σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτȣ̃,

# Η

Ἤξεύρω, ἀντὶ τοῦ γινώσκω, παρὰ τὸ ἐξευρέω.

Ἤπατα τὸ ἐντόσθια, ἀπὸ τοῦ μέρους τὸ ὅλον.

Ἠμπορῶ, ἀντὶ τοῦ δύναμαι· κρεῖττον λέγεσθαι ἐμπορῶ, ὡς παρ' ἄλλοις τῶν ἡμετέρων λέγεται.

Ἤγκαιρον ψωμί φαμὲν, ἀντὶ τοῦ ἔγκαιρον, πρόσφατον.

Ἥσυχα καὶ ἡ συνήθεια λέγει, ἀντὶ τοῦ ἡσύχως, καθὰ καὶ ὅσια, καλὰ, θεάρεστα, ἀντὶ ὁσίως, καλῶς, θεαρέστως· ὅτι τὰ εἰς α οὐδέτερα πληθυντικὰ, ἀντὶ ἐπιῤῥημάτων καὶ οἱ ἀρχαῖοι ἐξελάμβανον, ὡς παρὰ Θεοκρίτῳ ( εἰδ Β'. )

„ κἠπεί κά νιν ἐόντα μάθοις, ἥσυχα νεῦσον.

# Θ.

Θαμπόνει, ἀντὶ θαμβόνει, σκοτίζεται, ἐκ μεταφορᾶς τῦ θάμβȣς, οἷον, ἐθάμπωσαν τὰ μάτιαμȣ, ἀντὶ ἐσκοτίσθησαν.

Θερμαίνεται, ἀντὶ πυρέσσει, καὶ θέρμην φαμὲν τὸν πυρεττόν. καὶ Ἀῤῥιανὸς ἔφη. — „σπασμοῖς τε ἦν ἔχε-„σθαι Ἀλέξανδρον, καὶ θέρμαις ἰσχυραῖς καὶ ἀγρυπνίᾳ διη-„νεκεῖ.

Θηλιάζω, ἐκ ἀκόμψως τῦτο ἐχημάτισαι ὑπὸ τῆς συνηθείας, παρὰ τὸ Θηλέα, εἰς ἣν διωθεῖται τὸ κομβίον.

Θεμονιὰ, ἀντὶ θημωνία, παρὰ τὸ θημών.

Θραψερὸν ξύλον φαμὲν, τὸ πλεῖον τῶν ἄλλων ξύλων τῇ θραύσει ὑποκείμενον, παρὰ τὸ θραύεσθαι· ἀντὶ θραυσερόν.

Θῦγος ἡ θυγάτηρ παρὰ τοῖς παρ' ἡμῖν χορικοῖς, ὡς καὶ ἐν τῇ χυδαϊκῇ ᾠδῇ, τῇ τῦ Λαζάρȣ λεγομένῃ. — „ἐδῶχȣν θῦγον ὤμορφην, θῦγον καμαρωμένην.“

Θυμόνω. παρενθέσει τῦ ν ἀντὶ θυμόω, ὀργίζομαι.

Θυμοῦμαι φαμὲν, ἀντὶ τῦ ἐνθυμοῦμαι, κατὰ χυδαϊκὴν ἀφαίρεσιν τῆς ἀρχικῆς ἐν συλλαβῆς· καθὰ καὶ τὸ, θυμίζω, ἀντὶ τῦ ἐνθυμίζω.

## Προσθήκη.

Θαμμένος, ἀναυξήτως λέγεται, ἀντὶ τεθαμμένος.

Θάφτω Αἰωλικῶς, τὸ κοινῶς θάπτω.

Θέτω, ἀπὸ τȣ͂ τίθημι, καὶ ἀντ᾽ αὐτȣ͂ τȣ͂ τίθημι ἐκλαμβανόμεν.

Θειάφιον φαμὲν τὸ θεῖον· Ἡσύχιος δὲ θεάφιον εἶπεν.

Θηκιάζω, ἀντὶ τȣ͂ ἐναποτίθημι, ἐνταμιεύω, ἢ θησαυρίζω, παρὰ τὸ θήκη, ἢ θηκίον. θῆκαι μὲν, ὥς φησιν Ἡσύχιος, οἱ ἀπόθετοι νόμοι, ἢ σωροί· Θηκίον δὲ ὁ θησαυρὸς,

Θιαμάζω, καὶ Θιαμάζομαι, Θιάμα, ἀντὶ τȣ͂ θαυμάζω, θαῦμα. Αὕτη ἡ τȣ͂ θιαμάζω προφορὰ ȣ̓ πολὺ δοκεῖ ἀπολείπεσθαι τῆς τȣ͂ Ἰωνικῶς, θωϋμάζω, ὡς παρ᾽ Ἡροδότῳ, „κάρτα ἂν ἐθώϋμαξες, ὅκȣ νῦν ἔτω „τυγχάνεις, θώϋμα ποιεύμενος τὴν ἐργασίαν τȣ͂ σιδήρȣ.

Θόλος, θόλοι οἱ καμαροειδεῖς ὄροφοι. Θόλος ἔτι, ὥς φησι Πλȣ́ταρχος, καὶ ἡ ἐν τῇ λεγομένῃ μύστιδι τῆς Σηπείας ζοφερὰ ὑγρότης, ἣν, καταλαμβάνεσθαι μέλλȣσα, μεθίστησιν ἔξω, καὶ διαθολεῖ τὴν περὶ αὐτὴν θάλασσαν, ἵν᾽ ἀποδρᾶναι τὴν τȣ͂ θηρεύοντος ὄψιν δυνήσηται.

Θρέφω, ἀντὶ τȣ͂ τρέφω, Αἰωλικῇ τροπῇ τȣ͂ τ εἰς θ, κατὰ τὸ παρ᾽ Ὁμ: (Ἰλ: σ.) „θρέξασκον, ἀντὶ „τρέξασκον.

Θωριὰ, χρῶμα, ἀντὶ τῦ θεωρία, ὄψις, θέα· οἷον κόκκινη, κύτρινη θωριά. Περὶ ταύτης τῆς χρήσεως τῦ, θεωρία, ἐπὶ χρωματισμῦ καλῶς σημειωσάμενος ὁ Κοραῆς (εἰς τὴν Αἰλιανῦ ποικ: ις: σελ: 312) ἔφη τάδε.

„ὡς καὶ παρ᾽ Α᾽πολλοδώρῳ τὸ συνώνυμον θέα, ἐν οἷς
„φησὶ,

Τριχρώματον ἐν ταῖς ἀγέλαις ἔχειν βῦν, τὸν δὲ τὴν
ταύτης θέαν ἄριστα εἰκάσαι δυνηθέντα.

„ὅθεν ἁμαρτάνει καὶ ἡ συνήθεια θεωρίαν (χυδαϊκῶς θω-
„ριὰν) ὀνομάσασα τὸ χρῶμα.“

# I.

Ισα, ἐξ ἴσȣ, ἐπίσης. Εφύλαξεν ἡ συνήθεια τὴν ἀρχαίαν φράσιν· οἷον, τὴν ἀγαπᾷ, καὶ τὴν κυττάζει ἴσα μὲ τὰ παιδιά της· κατὰ τὴν παρ' Ηλιοδώρῳ. — „ἦ. μὴν αὐτόν σε ὡς ἀδελφόν, παῖδας τε τȣ̀ς σȣ̀ς „ἴσα καὶ παισὶν ὁρᾷν τοῖς ἐμοῖς.

# Κ.

Καβαλκέυω, ἀπὸ τȣ̃ Ἰταλικȣ̃ cavalcare. καὶ καβαλλάρης ὁ ἔφιππος ἀπὸ τȣ̃ cavallàro. ἐξ ȣ̃ Καβαλλιέρος, ἀξίωμα, ὁ Ἱππεὺς.

Κάγγελα, ἀντὶ τȣ̃, κιγγλίδες, ἤφησιν Ἡσύχιος „Κιγγλίδες θύραι, ἃς ἡμεῖς καγγελωτὸς λέγομεν. Καὶ ὁ τȣ̃ Θεοκρίτȣ σχολιαςὴς (εἰδ: ή) „κυρίως δὲ ὕσπληγξ, ἡ τῶν „δρομαίων ἀφετηρία, ὃ κάγγελον ἡμεῖς φαμεν.“ καὶ Ἰταλοὶ cancelli λέγουσι.

Καιγώ, ἀντὶ καὶ ἐγὼ, καθὰ κἀγὼ, καὶ παρὰ Θεοκρ: κἠγώ.

„Κἠγὼ τῆνο κατ' ἅμαρ ἀνήθινον, ἢ ῥοδόεντα.
„ἢ καὶ λευκοΐων ςέφανον περὶ κρατὶ φυλάσσων.

Καινουργόνω, παρενθέσει τȣ̃ ν, ἀντὶ καινȣργόω, ἐξ οὗ τὸ καινȣ́ργιο τῆς συνηθείας, καὶ ἐν τῇ παροιμίᾳ.

„καινȣ́ργιο μȣ κόσκινον καὶ πȣ̃ νὰ σὲ κρεμάσω;

Καθάρειο ψωμὶ λέγομεν τὸ ἐκ σίτȣ μόνȣ. καὶ καθάρειος ȣ̓ρανὸς, ὁ ἀσύννεφος, ἀπὸ τȣ̃ καθαρεύω, καὶ ἐν τῇ παροιμίᾳ,

„καθάρειος ȣ̓ρανὸς ἀςραπαῖς δὲν φοβᾶται.

Κακιόνω, ἀντὶ τȣ̃ κατηφὴς γίνομαι. Κακίζω, ἀντὶ τȣ̃

ἐργίζομαι. Φυλάττει κάκηταν, ἀντὶ τȣ̃ μνησικακεῖ, παρὰ τὸ κακία· ἤ τις ἐπὶ πολλῶν λέγεται κατὰ τὴν προσγινομένην τοῖς πάσχȣσι διεφθαρμένην κρίσιν.

Καλαπόδι, καλαπόδιον, ἀντὶ καλοπόδιον τὸ ὑποκοριστικὸν τȣ̃ καλόπȣς, ὁ ξύλινος πȣ̃ς (κάλον γὰρ τὸ ξύλον) καὶ Πολυδεύκης ἔφη· „σμίλη, περιτομευς, „ὑπήτεια, καλόποδες.

Κάκοψον, καὶ κάλοψον ἐπὶ ὀσπρίων μόνον τὰ νῦν λέγονται.

Καλάθα, ἀντὶ τȣ̃ κάλαθος.

Καλαμάριον, ἴσως ἀπὸ τȣ̃ καλαμὶς ἡ τῶν γραφείων θήκη. Εὕρηται ἡ λέξις καὶ παρὰ Ι: τῷ Βρυεννίῳ ὅτω — „καὶ καλαμάριον προτεθῇ, καὶ γραφὶς ἀμβλυθῇ.

Καματερὰ, ἀντὶ καματηρὰ· ὅτω κατ᾽ ἐξοχὴν λέγονται οἱ βόες διὰ τὸν πολὺν, ὃν ὑπομένȣσι κάματον. Καὶ καματερὴν ἡμέραν Φαμὲν, πρὸς ἀντιδιαστολὴν τῶν ἑορτασίμων, ἐν αἷς ȣ̓ δȣλεύȣσι.

Καμάκι, καμάκιον, ὑποκοριστικῶς ἀντὶ τȣ̃ πρωτ: κάμαξ.

Καμάρα, ὁ θόλος, καὶ ὁ οἰκίσκος. Καμαρὶς γὰρ ἐλέγετο τὸ ἐπὶ στολισμῷ τῶν γυναικῶν οἰκημάτιον. καὶ Ἡσύχιος Φησὶ, Καμαρία, κοιτὼν καμάρας ἔχων. Καμαρόνει ἡ νύφη λέγομεν, καὶ καμαρόνω ἀντὶ τȣ̃ ὑπερηφανεύομαι. ἔμοι γε ȣ̓ γνωστὸν,

πόθεν ἡ συνήθεια ἐξέλαβε τὸ, καμαρώνω, ἐπὶ τῶν ὑπερηφάνων.

Κάμνω καὶ τὰ νῦν λέγεται, ἀντὶ ἐνεργῶ, ἢ ποιῶ, ἢ ἐργάζομαι, ἢ κατασκευάζω. χρώμεθα δ' αὐτῷ καὶ ἐπὶ τοῦ διάγειν· οἷον, τί κάμνει ὁ ἄῤῥωστος;

Κάμπιον, καὶ καμπιάλα οὐκ εἰσὶ λέξεις Ἰταλικαὶ, ὥς τινες κατ' ἄγνοιαν οἴονται, καθὰ καὶ ἐγὼ μέχρι τινός. Καμπεῖα γὰρ ἡ ὁμολογία, τὸ ἔγγραφον συμβόλαιον, ἢ συνάλλαγμα, ἀπὸ τοῦ κάμπτω Ἑλληνικοῦ ῥήματος, ὡς κάμπτουσα ἀφ' ἑνὸς προσώπου εἰς ἕτερον, ἤγουν κατὰ τὴν σύμβασιν μεταβαίνουσα ἀπὸ τοῦ διδόντος εἰς τὴν ἐξουσίαν τοῦ δεχομένου αὐτὴν, ὡσὰν καὶ ἡ λεγομένη Πόλιτζα. Χάριτας ὁμολογῶ τῇ σοφωτάτῃ Αἰκατερίνῃ, ὅτι ἀπήλλαξέ με τὸν ἐνδεῆ Ἕλληνα τῆς ἀγνοίας, διὰ τῆς ἔν τινι Βασιλικῷ θεσπίσματι ἀναπτύξεως τοῦ (cambio) κάμπιον.

Κάμπος ἐλέγετο παρὰ τοῖς ἐν τῇ Σικελίᾳ ἀρχαίοις Ἕλλησι τὸ ἐκτεταμένον πεδίον, καθὰ καὶ νῦν ἔτι παρὰ πᾶσι τοῖς ὁμογενέσιν ἡμῶν.

† Κάμπαλον λέγεται παρ' ἡμῖν, (εἰ ἢ παρ' ἄλλοις οὐκ οἶδα) ἡ προθεσμία ἐπ' ἐξεργασίᾳ ἐργοχείρου τινος.

Καμπούρης, ὁ κυρτὸς τοὺς ὤμους, ἀπὸ τοῦ κάμπτεσθαι.

Καμώνεται, ἀντὶ τοῦ προσποιεῖται, ἴσως ἀπὸ τοῦ καμεῖν, τὸ ὀκνεῖσαι· ὁ γὰρ ὀκνέων καὶ ὑποκρίνεται.

Κανάτα, μέτρον οἴνȣ παρ' ἡμῖν καὶ ἐλαίȣ, παρὰ τὸ κανȣ̃ν· οἷον, μίαν κανάταν κρασὶ, μίαν κανάταν λάδι. ἧς ὑποκοριστικὸν τὸ, κανίον, χυδαϊκῶς κανὶ. Ὥστε τὸ κανȣ̃ν, ȣ̓ μόνον τὸ ἐκ λύγȣ πλεκτὸν, ἀλλὰ καὶ ξύλινον, καὶ σιδηρȣ̃ν, καὶ ὀστράκινον, καὶ χάλκειον ὡς παρ' Ὁμήρῳ (Ἰλ: λ'.)

,, . . . . . . . . . . αὐτὰρ ἐπ' αὐτῇ
,, χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον.

Καὶ τὴν ἀμίδα κατουροκάνατον καλȣ̃μεν.

Κανεὶς, ἀντὶ τȣ̃ ȣ̓δεὶς, ἀπὸ τȣ̃, κἂν εἷς.

Κανίσκιον, τὸ ἐν κανιστρίῳ προσφερόμενον δῶρον, καὶ ἁπλῶς πᾶν δῶρον, ὡς καὶ παρὰ τῷ Πορφυρογεννήτῳ.

Κανισκεύομαι, τὸ κανισκίῳ δωρȣ̃μαι.

Κανίστριον τὸ ὑποκοριστικὸν τȣ̃, κανȣ̃ν, ἐξ ȣ̓ καὶ κανηφόροι ἤκουον αἱ ἐν κανιστρίοις τὰ πρὸς θυσίαν δῶρα κομίζουσαι,

ὡς παρὰ Θεοκρίτῳ (εἰδ: β')

,, ἦνθ' ἁ τῷ 'ιβούλοιο καναφόρος ἄμμιν Ἀναξώ.

Κἂπȣ, ἀντὶ τȣ̃, καίπȣ. κἂποτε, ἀντὶ καί ποτε.

Κάππα ἀπὸ τȣ̃ Ἰταλικȣ̃ cappa.

Καποιανȣ̃, παρὰ τὸ, κἂν ποιȣ̃.

Κἂπως, ἀντὶ τȣ̃ καί πως, κατά τινα τρόπον· ὅτι τὸ, πῶς,, ἐνταῦθα τρόπȣ σημαντικὸν. οἷον, κἂπως δὲν μȣ̃ καλοφαίνεται — καὶ — ,, κἂπως δὲν μ' ἀρέσσει.

ὡς παρ' Εὐριπίδῃ.

,, Δεινὰ Τυράννων λήματα. καίπως
,, ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατȣ͂ντες
,, χαλεπῶς ὀργὰς μεταβάλλȣσι.

Καὶ Ἡλιόδωρος ἔφη ,, καὶ πως ἐκ ἀηδῶς τὴν χειμέριον ,, ὥραν διηνύομεν.

Κάπρα ἡ Αἶξ, ἡ καὶ κάπραινα, παρὰ τὸ καπρᾶν.

Καρβάνιον, ξένη ἡ λέξις ἐκ τῶν τῆς Ἀσίας, πρὸ πολλῶν δὲ αἰνώνων εἰσέφρησεν εἰς τὴν ἡμετέρων χρῆσιν, ἥφησιν ὁ Πορφυρογέννητος ,, τὰ εἰσερχόμενα καρ- ,, βάνια" καὶ νῦν ἐπιχωριάζει παράτε τοῖς Ἀσιατικοῖς, καὶ τοῖς Εὐρωπαίοις, Κερβὰν, Καραβάνα καὶ Καραβὰν λεγομένη.

† Καρβέλιον, εἶδος ὑποδεεστέρȣ ἄρτȣ παρ ἡμῖν, ἢ λυρίτου,

ὡς καὶ ἐν ταῖς παροιμίαις

,, ὁ πεινασμένος καρβέλι' ὀνειρεύεται.
,, ὅλα τὰ ςραβὰ τὰ καρβέλια ἡ νύφη μας τὰ κάνει.

Καρφόνω, παρειθέσει τȣ͂ ν, ἀντὶ τȣ͂ καρφόω.

Κασσίδα, λέγεται τὰ νῦν ἡ τῆς κεφαλῆς ψωρώδης φλεγμονὴ,

ὡς καὶ ἐν τῇ παροιμίᾳ.

,, τὶ σȣ͂ λείπει, κασσιδιάρη; μαργαριταρένια σκούφια.

Κασσίδιον παρὰ τῷ Πορφυρογεννήτῳ, εἶδος πίλȣ, ἢ περικεφαλαίας. Εἰρωνικῶς ἴσως ἡ τοιαύτη φλεγμονὴ

κασσίδα εἴρηται, διὰ τὸ ἐπιπολάζουσαν ταύτην, καταλύπτειν περικεφαλαίας δίκην τὰς τῶν τοιέτῳ πάθει κατεχομένων κεφαλάς,

Καταβολάδα, ἀντὶ τῆς καταβολὰς, παρὰ τὸ ὑπὸ τῇ γῇ τὲς κλάδες τῶν φυτῶν καταβάλλεσθαι, ἐπὶ νέων βλαςῶν γεννήσει. πληθυντικῶς δὲ καταβολάδες, καὶ ὄχι καταβολάδαι λέγομεν.

Καταρτι, καταρτιον, ὁ ἱςὸς, ἀπὸ τῆς καταρτίζω.

Κατζοῦλα, εἶδος καλύμματος τῆς κεφαλῆς, ὅταν βρέχῃ. Κατζέλι δὲ ὁ ἐπὶ κεφαλῆς κατοικιδίε ὄρνιθος ἐκ πτερῶν λόφος, ἢ περικεφαλαία· καὶ ἡ τοιῦτον ἔχεσα λόφον κατζουλωτὴ ὀνομάζεται. Ἀμφότερα δὲ ταῦτα τό, τε κατζούλιον, καὶ ἡ κατζοῦλα κατὰ παραφθορὰν τῶν συλλαβῶν σχηματισθέντα, ἀναμφίβολον ἔχειν δοκῦσι τὴν παραγωγὴν παρὰ τὸ κόττικος, ἡ περικεφαλαία, ὡς φησὶν Ἡσύχιος. Χρώμεθα δὲ τῷ, κατζουλωτὸν, μεταφορικῶς καὶ ἐπὶ ειρωνείᾳ, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

,, διάφορο κατζουλωτὸν, καὶ ζημιὰ ὁλοςρόγγυλη.

Κατόπι, ἀντὶ κατόπιν.

Καταπόδι, ἀντὶ Καταπόδας.

Καυςερὸν, καὶ καυτερὸν, ἀντὶ τῆς καυςειρόν.

ὡς παρ᾽ Ὁμήρῳ (Ιλ: μ.)

,, ἑςάμεναι, ἠδὲ μάχης καυςειρῆς ἀντιβολῆσαι.

Καυκὶ, καυκίον, ξύλινον ςρογγύλον ποτήριον.

Κέντημα, παρὰ τὸ κεντῶ. Γνωςὴ τοῖς πᾶσιν ἡ σημασία τȣ͂ γυναικείȣ ἐργοχείρȣ, κέντημα λεγομένȣ, παρὰ τῆς συνεχȣ͂ς ἐπὶ τȣ͂ ὕφȣς βελονονύξεως, ἤτοι βελονοκεντήσεως ἐπὶ τοιαύτῃ σημασίᾳ ἐκλαμβανομένȣ.

Κατάψηχος, καταψηχερνὸς, παρὰ τὸ καταψήχειν.

Κατώφλιον, ἡ κατωφλιὰ, τὸ ὑπόθυρον.

Κεραμίδα, ἀπὸ τῆς αἰτιατικῆς τȣ͂, κεραμίς. Κέραμος, πίθος, καὶ πᾶν πήλινον ὄςρακον.

καὶ ἐν τῇ παροιμίᾳ.

„ ὁ πηλὸς ἂν δὲν δαρθῇ, κέραμος δὲν γίνεται.

Κερὶ κερία, κατὰ συςολὴν, ἀντὶ κηρίον, κηρία.

Κιβούριον, ἀντὶ κιβώριον, Αἰγυπτίων ἡ λέξις.

Κινῶ, ἀπαίρω, ὡς καὶ παρὰ τοῖς ἑβδομήκοντα.

„ καὶ ἐκίνησεν Ἀβραὰμ ἐκεῖθεν εἰς γῆν Λίβα.

καὶ ἐν τῇ παρ:

„ σήμερα 'κινήσαμαν, καὶ ἄυριον πίσαις ἔχομεν.

Οἱ πλεῖςοι κατ' ἄγνοιαν ὀλιγωρȣ͂ντες τȣ͂, κινῶ, χρῶνται τῷ βαρβάρῳ, μισεύω, καὶ κατακόρως.

Κλαρὶ, κλαρίον, κλαρία οἱ κλάδοι.

Κλιτζὶ, κλιτζίον, κλιτζία, καὶ χυδαιοτέρως κλιτζιὰ λέγονται παρ' ἡμῖν τε, καὶ τοῖς ὁμόροις ἡμῶν, τὰ μέχρι τῶν κνημῶν ἀποκλίματα τῶν μηρῶν, ἤτοι τὰ παρακνήμια. Ἰσχυρίσασθαι ȣ̓κ ἔχω, εἰ τὸ κλιτζίον

παρεσχημάτισαι παρατροπῇ τȣ̃ τ εἰς τὸ ἐπίτριπτον τζ, παρὰ τὸ κλιτίον, τὸ ὑποκοριστικὸν τȣ̃, κλιτός.

καὶ ἐν ταῖς παροιμίαις.

„ κάθε πρόβατο ἀπὸ τὸ κλιτζί τȣ κρέμεται.

„ φοβέρισε τὸν Κῶλονσȣ, μὴ χέσῃ τὰ κλιτζιάσȣ.

Κλεόμβροτος ποιητὴς Α᾽μβρακιώτης. Α᾽μβρακία πόλις Ἠπείρȣ.

Κλότζος, κλοτζιὰ, ἴσως παρατροπῇ τῶν συλλαβῶν παρὰ τὸ Ἰταλιστὶ calcio λάκτισμα, καὶ ἐν τῇ παρ:

„ κλοτζιὰ τῆς προβατίνας χαρὰ τȣ̃ λύκȣ.

Κλωσσαριὰ, παρὰ τὸ κλῶ, καλῶ. τοιȣ́τῳ γὰρ κλωσμῷ συνάγει τὰ ἑαυτῆς πωλία.

Κοιτάζω φαμὲν, ἀντὶ τȣ̃ βλέπω, ἢ θεωρῶ, ἀφορῶ, ἐνασχολȣ̃μαι, προσέχω, καὶ περιποιȣ̃μαι· οἷον, τί μὲ κοιτάζεις ἔτζι ἄγρια;

καὶ ἐν τῇ παροιμίᾳ.

„ μὲ κοιτάζει σὰν ὁ λύκος τὸ φεγγάρι.

Κοίταζε τὴν δȣλειάν σȣ, καὶ μὴν χάσκῃς Κοίταξε καλὰ, μὴ μᾶς γελάσȣν. Τὸν ἐκοίταξε σὰ γηρατεῖα τȣ, ἀντὶ τȣ̃, ἐγηροκόμησεν.

Α᾽παντες αὐτὸ μετὰ τοῖς οι διφθόγγȣ γράφομεν, (διατὶ δὲ; ἐγὼ μὲν εἰπεῖν ȣ̓κ ἔχω) καὶ ταῦτα εἰδότες, ὅτι ἡ τῆς τȣ̃, Κοίτη, σημασίας ἑτεροιό-

της, τȢ τε κοιτάζω (*) κοιτάζομαι, τὸ καθεύδω, καὶ τυφλῷ ὡς εἰπεῖν δήλη.

Κόλλα, κολλητὸς, ἀκόλλητος, δυσκολοκόλλητος, ἀντὶ δυσκόλλητος, ἣ φησὶ ΛȢκιανὸς· „καὶ ἀνάρμοσον καὶ „δυσκόλλητον τȢ πράγματος.“ παρὰ τὸ Κολλῶ. Κολλητὰ ἀντὶ τȢ πλησίον. διετήρησεν ἡ συνήθεια τὴν τῶν ἀρχαίων χρῆσιν τȢ τὰ εἰς ᾱ Ȣδέτερα πληθυντικὰ ἀντὶ ἐπιῤῥημάτων ἐκλαμβάνειν, οἷον θεάρεστα, κολλητὰ, καλὰ, ἀντὶ θεαρέστως, κολλητῶς, καλῶς.

ὡς παρ' Ὁμήρῳ (Οδ: ό)

„Τηλέμαχ', Ȣκ' ἔτι καλὰ δόμων ἄπο δὴν ἀλάλησαι.

Κολοβὸς, κολοβὸς, παρὰ τὸ κολοβῶσαι.

Κόλλυβον, κόλλυβον, καὶ ἐν τῇ παροιμίᾳ.

„μὲ ξένο κόλλυβο μακαρίζει τȢς γονέȢς τȢ.

Κονέυω, ἀντὶ καταλύω, ἀπὸ τῆς Ταρταρικῆς φωνῆς ἐκγραικιϑέν· διὸ καὶ ἀποσκορακιστέον.

Κοντὸς, κοντεύω, κουντῶ, καὶ κουντίζω. Κοντὸς, κοντοὶ, παρὰ τοῖς ἀρχαίοις κυρίως τὰ ναυτικὰ μακρὰ δόρατα ἐκαλεῖτο, οἷοις περ ἐν ταῖς ῥηχείαις οἱ ναῦται ἐπερειδόμενοι, ἐξωθȢσι τὰ πλοῖα εἰς τὰ βαθέα·

---

(*) ἐν τῷ περὶ Καίσαρος διαγωγῆς Νικόλαος ὁ δαμασκηνός φησι — „κοιτάζεσθαί τε, ἔνθα καὶ πρότερον, ἐν τῷ αὐτῷ „δωματίῳ.

καὶ κατὰ τὴν παροιμίαν „κοντῷ πλεῖν“ ἅπερ καὶ ἡ συνήθεια κοντάρια καλεῖ.

ὡς καὶ παρ' Ὁμ: (Ο'δ:)

„ αὐτὸς ἐγὼ χείρεσι λαβὼν περιμήκεα κοντὸν
„ ὦσα παρὲξ· ἑτάροισι δὲ ἐποτρύνας ἐκέλευσα
„ ἐμβαλέειν κώπης, ἵν' ὑπεκκακότητα φύγωμεν.

Προϊὼν δ' ὁ ποιητὴς τοὺς κοντοὺς καὶ νήϊα δοῦρα ἐκάλεσε.

„ σύνκεν ἄραξ' ἡμέων κεφαλὰς, καὶ νήϊα δοῦρα.

Παρὰ δὲ τοῖς μεταγενεστέροις τὸ, κοντὸς, εὕρηται ἐπὶ σημασίας πολεμικοῦ μικροῦ δόρατος ἐκλαμβανόμενον· οἷα περ οἱ βαρέως ὡπλισμένοι ἐν τῷ τότε φέρειν εἰώθεσαν, ὡς καὶ παρ' Ἡλιοδώρου τοῦτο μανθάνομεν, ὧδέ πως εἰπόντος. „τὴν μὲν δεξιὰν κοντῷ „ μείζονι λόγχης ὁπλίζει.“

Τοῦ χρόνου δὲ προϊόντος ἡ ἀχαλίνωτος κακοῤῥαφία τῆς ἀλεγεινῆς χυδαιότητος ἄλλαις τὸ, κοντὸς, μετημφίασε σημασίαις, οἷον, κοντὸς ἄνθρωπος. κοντὸ φόρεμα. κοντόγνωμος. κοντὰ νά 'ναι τὰ λόγιασου. σχηματίσασα καὶ ἐπίῤῥημα πλησιότητος, κοντά μου, καὶ ῥῆμα κοντεύω, ἀντὶ τοῦ πλησιάζω, καὶ ἀντὶ τοῦ σμικρύνω. Ἐκόντευσε νὰ χαθῇ, μικροῦ ἐδέησεν ἀπολέσθαι. Ἔτι καὶ τὰ, κουντῶ, κουντίζω ῥήματα ἐπὶ τοῦ ἐπερείδεσθαι.

**Κοπάδιον**, ἡ κοπὴ πρόβατα, μέρος ποίμνης.

Κόπανος, ἀντὶ τȣ̃ ȣ̉δετέρως κόπανον, καὶ ἐν τῇ παροιμίᾳ.

„δός μȣ κυρά τὸν ἄνδρα σȣ, καὶ σὺ κράτει τὸν κόπανον.

ἐξ ȣ̃ καὶ τὸ ἐπιῤῥηματικῶς, μιᾷ κοπανιᾷ, ἀντὶ ταχέως.

Κοπέλα, ἀντὶ τȣ̃ θεραπαινίς. καὶ ἐν τῇ παροιμίᾳ.

„ἔχ' ἡ κυρά τὸ σπήτι, κ' ἡ κοπέλα τὰ κλειδιά.

Κόφτει μονέδαν, ἀντὶ κόπτει νομίσματα. Καὶ Πολυδεύκης ἔφη.

„περὶ τῶν πρώτων κοψαμένων νομίσματα." —

καὶ Πλȣ́ταρχος.

„ἔκοψε δὲ καὶ νόμισμα, βȣ̃ν ἐγχαράξας.

Κοπτὸς Αἰγυπτιακῆς ἐπαρχίας ὄνομα· ἧς καὶ Λȣκιανὸς ἐμνήσθη, εἰπὼν ȣ̃τως — „ὁπότε ἐν Αἰγύπτῳ „διῆγον. . . . . ἐπεθύμησα εἰς Κοπτὸν ἀποπλεῦσαι. —" Οἱ αὐτόχθονες χριστιανοὶ τῆς Αἰγύπτȣ, τῆς δ' αἱρέσεως ὄντες Διοσκούρȣ, γενικῶς τὰ νῦν Κόπται καλȣ̃νται· ȣ̉χὶ μέντοι ἀπὸ τȣ̃ κόπτω ῥήματος, ὡς παρά τινων ἤκουσα, ἐπειδὴ αὐτοὶ οἱ Κόπται ȣ̉ περιτέμνονται.

† Κουβαλῶ, ἀντὶ τȣ̃ μετακομίζω. Καὶ κουβαλιȣ̃μαι Φαμὲν κατὰ μέσην διάθεσιν, οἷον κȣβαλιέται εἰς ἄλλο σπήτι.

Κȣβάρι, κȣβάριον, ἀντὶ τȣ̃ κυβάριον, τὸ ὑποκοριστικὸν τȣ̃ κῦβος, ὁ βόλος, διὰ τὸ κυκλοφερὲς αὐτȣ̃ σχῆμα. κυβιστᾷ γὰρ τὸ Κυβάριον, πίπτον κατὰ γῆς, καὶ δινεῖται κυλιόμενον.

Κȣ̃κκος, ἀντὶ τȣ̃ κόκκυξ, καὶ ἐν τῇ παροιμίᾳ.

„ Κȣ̃κκος ἄκαιρος τȣ̃ χρόνȣ μὴ λαλήσῃ.

Κȣλλȣ́ρι, ἀντὶ τȣ̃ κολλȣ́ριον.

Κȣμάσι, κουμάσιον, διετήρησεν ἡ συνήθεια ταύτην τὴν ἀρχαίαν λέξιν ἐπὶ τȣ̃ τῶν κατοικιδίων ὀρνίθων οἰκηματίȣ, ἐν ᾧ κοιμῶνται· τὸ καὶ κοττάναθρον.

Κȣμπόρος, ὁ ἀνάδοχος, ἀπὸ τȣ̃ Ἰταλικȣ̃ compare.

† Κȣρκȣ́τι, γνωϛὴ ἡ σημασία, ȣ̓χὶ δὲ καὶ ἡ παραγωγή.

Κȣρσάρος ἐξ Ἰταλῶν, ὁ θαλάσσιος ληϛής.

Κουτὶ, κουτίον, ἀντὶ τοῦ κυτίον, τὸ ὑποκοριϛικὸν τȣ̃ Κυτὶς ἡ κίϛη· κυτίδας γὰρ ἐκάλȣν οἱ ἀρχαῖοι τὰς κίϛας.

† Κουτάβι, κουτάβια, τὰ τῶν κυνῶν καὶ ἄλλων θηρίων νεογνά.

Κȣ̃τρα ἡ κόμη, καὶ ἐν τῇ παροιμίᾳ.

„ ἀλλοιὰ 'πȣ̃ τὤχει ἡ κȣ̃τρα τȣ, νὰ κατεβάζῃ ψείραις.

Κȣ́τζȣρο, ῥιζῶδες καὶ ἀνώμαλον ξύλον, καὶ ἐν τῇ παροιμίᾳ.

„ ὅλοι κȣτζȣρο, κὶ αὐτὸς δαυλί.

Κȣφὸς, ἀντὶ κωφὸς, ὁ ἀκοῆς ἐϛερημένος. κȣφὸς μεταφορικῶς ἀντὶ κȣ̃φος, ὁ ἄφρων. κȣ́φια λόγια κατὰ τὸ „ κωφὰ καὶ παλαιὰ ἔπη. κȣ́φια κάϛανα, ἀντὶ κενά· καὶ κȣφάρια φαμὲν τὰ παρὰ τὰς ὁδȣ̀ς κείμενα σκέλεθρα τῶν τετραπόδων.

Κόττα, καὶ κόκκοτος, οἱ κατοικίδιοι ὄρνεις. Ὀνοματοποιηθῆναι μοι δοκῦσιν ἀπὸ τῶν φωνῶν, ὅτε ἡ μὲν κόττα ὠοτοκῆσαι ἐπειγομένη, ὁ δὲ οἱονεὶ συνεπιλαμβανόμενος, καὶ παραθαῤῥύνων, ἄμφω ταῖς φωναῖς κοκκοτίζυσι, καὶ κοττκοτίζουσι. καὶ τὸ ὠὸν ὑπὸ τῶν ψελλιζόντων κόκκο λέγεται.

καὶ ἐν ταῖς παροιμίαις.

„ μᾶς ἐγέννησ' ἡ κόττα σὴν σκύφιαν
„ ἔχι αὐγὸ, μόναι κόκκο.

Ἡσύχιος δὲ ἐν τῇ λέξει, προκόττα, φησὶν ὅτω „ καὶ οἱ ἀλεκτρυόνες Κοττοὶ (κόττη γὰρ ἡ κεφαλὴ) διὰ τὸν „ ἐπὶ κεφαλὴν λόφον" συγνωςέρον ἡμῖν εἰπεῖν, ὅτι ἐ πᾶσαι αἱ κατοικίδιοι ὄρνεις λόφον ἐπὶ τὴν κεφαλὴν ἔχουσιν· εἰσὶ γὰρ καὶ ἄλοφοι. πρὸς δὲ, ἄλλο κεφαλὴ, ἄλλο δὲ ὁ ἐπὶ τῆς κεφαλῆς λόφος. Ἔτι δὲ ὁ αὐτὸς ἀλλαχῦ ἔφη „ Κόττικοι αἱ περικεφαλαῖαι.

Κόφα, καὶ κοφίνιον, τὸ ὑποκοριςικὸν τῦ, Κόφινος.

Κραίνω τὰ νῦν ἐν χρήσει ἀντὶ τῦ λέγω, λαλῶ, ὁμιλῶ.

καὶ ἐν τῇ παροιμίᾳ.

„ κραίνω 'γὼ, τξαμπυνίξει κὶ ἄνδρας μυ.

Παρὰ δὲ τοῖς πάλαι τὸ, κραίνω, σημαντικὸν ἦν ἐξυσίας, τελειώσεως, ἢ ἀποπληρώσεως; ὡς παρ' Ὁμ: (Ὀδ θ'.)

„ δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
„ ἀρχοὶ κραίνουσι· Τρισκαιδέκατος δ' ἐγὼ αὐτός.

καὶ παρ' Εὐριπίδῃ.

„ πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
„ πολλὰ δ' ἀέλπως κραίνουσι θεοὶ,
„ καὶ τὰ δοκηθέντα οὐκ ἐτελέσθη.
„ τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

Κρικέλλα, ἀπὸ τοῦ, κρίκος.

Κροντήρα, παρὰ τὸ κρατήρ.

Κυκλάμινον βότανον ποιῶδες λεπτύῤῥιζον. οὐκ ἔχω εἰπεῖν, εἰ αὐτὸ τοῦτ' ἐστι τὸ παρ' ἡμῖν ὑπό τινων, ἰατρικὴν ἐπαγγελομένων γυναικῶν, πρὸς θεραπείαν τῶν φθισικῶν κατασκευαζόμενον, ὅπερ καὶ Θεόκριτος ἐμνήσθη,

„ ἐνθὼν τὴν κυκλάμινον ὄρυσσε νὶν εἰς τὸν Ἄλεντα.

Κῶλος ὁ πρωκτὸς, ἀπὸ τοῦ εἰς αὐτὸν καθήκοντος παχέος ἐντέρου, ὅπερ κῶλον ὀνομάζεται· καὶ Λουκιανὸς ἔφη „ ἢ περιπνευμονίαν, ἢ κώλου ἄλγημα.

καὶ ἐν τῇ παροιμίᾳ.

„ μικρὸν κῶλον δὲν ἔδειρες, μέγαν μὴ φοβερίζῃς.

Κολεασμὸς παρ' Ἡσυχίῳ, (γραπτέον ἴσως Κωλεασμὸς) τὸ περαίνεσθαι, παρὰ τὸ καθιέναι εἰς τὸ κῶλον· καὶ τὸ Κωλεάζειν ἐπὶ τῶν παιδικῶν ἐλέγετο. Κόλος γὰρ

μετὰ τοῦ ο μικρὸν, ὁ κολοβὸς τράγος, ὁ κέρατα μὴ ἔχων.

---

### Προσθήκη.

Καλαλίζω τὰ ἀγγεῖα, ἀντὶ τοῦ γαννόω, σχηματισθὲν ὑπὸ τῆς παρ' ἡμῖν χυδαϊκῆς συνηθείας, παρὰ τὸ ὑπὸ τῶν ἀλλογλώσσων Καλάϊ λεγόμενον, τουτέστιν ὁ κασσίτερος, ᾧπερ τὰ ἀγγεῖα γαννοῦνται.

Καλαφατίζω παρὰ τὸ Ἰταλιστὶ calafatare. πῶς δὲ ἐλέγετο Ἑλληνιστὶ, ἔμοι γε οὐ γνωστόν.

Καλέστρα, ἀντὶ τοῦ συμπόσιον, παρὰ τὸ, καλῶ.

Καλύβα, ἀντὶ καλύβη, αὐτοσχέδιον καὶ εὐτελέστατον οἴκημα· ἀρχαιοτάτη λέξις, ὡς παρὰ Θουκυδίδῃ — ,, οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους.

Κανάβι, ἀντὶ κάναβος.

Καππίστριον ἡ Φορβαία, ἧ φησὶν Ἡσύχιος.

Καππόνι ἐξ Ἰταλῶν ἀντὶ τοῦ, Ἀλεκτρυὼν ἐκτομίας.

Καράκλα, εἰρωνικῶς παρ' ἡμῖν ἡ κεφαλὴ, παρὰ τὸ κάρα. καὶ Ἡσύχιος καράραν ἔφη τὴν κεφαλήν.

Καράβι, καράβιον τὸ πλοῖον. κατακεχώρισται τοῦτο παρ' Ἡσυχίῳ ἐν τῇ λέξει, Ἐφόλκια τὰ μικρὰ καράβια.

Κάππαρη, ἀντὶ κάππαρις.

Κάρ ου ον, ἐξ Ἰταλῶν,

Καρότζα, καὶ καρέττα, ἅρμα, ὄχημα, παρὰ τὸ Καῤῥοῦχα.

Κασσέλλα ἀπὸ τοῦ Ἰταλιςὶ cassa casseletto.

Καταιβαίνω, Αἰωλικῶς παρενθέσει τοῦ ῑ, ἐκφέρει ἡ συνήθεια, ἀντὶ τοῦ κοινῶς καταβαίνω· ὡς καὶ ἐν ἐπιγράμματι τῆς ἀνθολογίας „εἰς ἀΐδην πάντεσσι κατάι„βασις. - - - - - - - - - - - - "

Καταβαλμένος, σεσυκοφαντημένος, παρατροπῇ τῆς συλλαβῆς βλη εἰς βαλ, καὶ ἀναυξήτως, ἀντὶ τοῦ καταβεβλημένος, παρὰ τὸ, καταβάλλω, τὸ συκοφαντῶ, κατασύρω, διαβάλλω.

Κατάκαρδα· καλόκαρδα· κατάμματα· κατάβραδα. κατάσαρκα, κατακέφαλα, ἐπιῤῥήματα μὲν εἰσὶ τῆς συνηθείας, ἐκ ἀμοιροῦσι δὲ χάριτος.

Κατὰ κράτος, κατὰ πολλὴν ἐξουσίαν, ἢ φησὶ Σουΐδας. παρ' Ἡσυχίῳ δὲ, ὡς καὶ παρὰ τῇ συνηθείᾳ, ἄρδην, παντελῶς, ὡς καὶ παρὰ Θουκυδίδῃ „καὶ Ἄστα„κον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατακράτος, καὶ „ἐξελάσαντες αὐτόν.

Καταμόνας, μοναδικὸν τῆς ἀρχαιότητος ἐπίῤῥημα, ἀγαθῇ τύχῃ καὶ μέχρι τοῦδε παρὰ τῇ συνηθείᾳ σωζόμενον, οἷον, ἔχω χρείαν νὰ σᾶς ὁμιλήσω καταμόνας, τουτέστι μοναδικῶς, μηδενὸς ἄλλου παρόντος. ὡς καὶ παρὰ Θουκυδ: „τὴν μὲν οὖν γενομένην συμμα„χίαν αὐτοὶ καταμόνας ἀπεωσάμεθα Κορινθίους," Κατεχωρίσαμεν καὶ ταύτην τὴν ἀρχαιοτάτην λέξιν, οὐχὶ ὡς

ἄγνωστον, ἀλλ' ὡς ἠμελημένην· καθὼς καὶ ἄλλας τινάς.

Καταλαμβάνω, φαμὲν, ἀντὶ τοῦ παρὰ τοῖς πάλαι κατὰ μέσην διάθεσιν, καταλαμβάνομαι, τὸ κατανοῶ, καθὰ καὶ Λουκᾶς ὁ εὐαγγελιστὴς ἐν ταῖς πράξεσι (κεφ: ι) ἔφη: „ἐπ' ἀληθείας καταλαμβάνομαι, „ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ θεός.

Καταλεπτὰ ἐπίῤῥημα τῆς συνηθείας, ἢ ἀντὶ τοῦ καταληπτῶς, τὸ ἐμφαντικῶς, κατανοητικῶς, ἢ ἀντὶ τοῦ καταλεπτῶς, τὸ λεπτομερῶς.

Καταπιάνω καὶ καταπιάνομαι, ἀντὶ ἐπιχειρῶ, ἐνάρχομαί τινος ἔργου, ταυτοσημάντως τῷ καταχερρῶ, καταχερρίζω,

Κατακνιὰ ἡ ὁμίχλη, παρ' ἄλλοις δὲ καλῶς καταχνιὰ, παρὰ τὸ ἄχνη, καὶ τὴν κατα πρόθεσιν, ἐπιτάσεως ἴσως τῆς τοῦ γνόφου παχύτητος οὖσαν σημαντικήν.

Καταπῶς, ἀντὶ τοῦ καθὼς, οἷον, καταπῶς σὲ εἶπα, νὰ κάμῃς.

Κατέχω φαμὲν ἀντὶ τοῦ ἐπίσταμαι.

† Κατζαρὸς ὁ συνεστραμμένας ἔχων τὰς τρίχας, ὁ οὖλος.

Κατωτερεύω, χαριέντως ἐσχημάτισται ὑπὸ τῆς συνηθείας, παρὰ τὸ κατώτερος, ἀντὶ τοῦ ἀποιι[illegible], τὰ δευτερεῖα ἔχω.

Κεῖθε φαμὲν, οἷον, πάγαινε κεῖθε ἀντὶ τοῦ, κεῖθι, τὸ ἐκεῖσε, εἰς ἐκεῖνον τὸν τόπον, ὡς καὶ παρ' Ἡσυχίῳ, ἔτι δὲ καὶ παρ' Ὁμήρῳ (Ἰλ, γ')

,, ἔτις τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων.

Κερατᾶς. πόθεν, καὶ πότε ἔλαβε τὴν ἀρχὴν ἡ χρῆσις τῆς αἰσχρολόγου ταύτης λέξεως.

Ἀνδρόνικος ὁ αὐτοκράτωρ Ῥωμαίων, ὁ κατὰ τὸ 1183. ἔτος ἀνακηρυχθεὶς (ὥ φησί τις ἀνώνυμος) λάγνος τυγχάνων, καὶ γυναιμανὴς, οὐ διέλειπε μετερχόμενος παντοίους τοὺς τρόπους (οὐ μέντοι βίᾳ) πρὸς ἀπόλαυσιν τῶν ὡραιότητι καὶ χάρισιν ὑπερεχουσῶν γυναικῶν τῆς Κωνσταντινουπόλεως, εὐποιΐαις τε καὶ ἀξιώμασι τὴν ἐκ τῆς μοιχείας ἀτιμίαν τῶν ἀνδρῶν παραμυθούμενος. Τούτων δέ τινας, οὓς ᾔδει τῷ κυνηγετεῖν μεμηνότας, καὶ προνομίῳ ἐτίμησε τοῦ ἐν πᾶσι τοῖς κατ' ἐξοχὴν Βασιλικοῖς κυνηγετικοῖς τόποις ἐλευθέρως τοῦτο ἀπολαύειν· καὶ τοῦτ' ἴσως ἐκ ἀποσκοποῦ, ἵν' ἐκείνων τῷ κυνηγετεῖν ἐνασχολουμένων, αὐτὸς ἐλευθερωτέρας ἔχῃ τὰς εἰς τὴν γυναικωνῖτιν εἰσόδους. Σημεῖον δ' ἦν τοῦδε τοῦ προνομίου, τὸ τὸν τιμηθέντα ζεῦγος ἐλαφείων κεράτων πρὸ τῶν ἰδίων κρεμᾷν θυρῶν. Ταῦτα οἱ Κωνσταντινοπολῖται ὅτ' ἔβλεπον νεωστὶ κρεμασθέντα, ἀστεϊζόμενοι ἔλεγον, ἡ ἀρχόντισσα Δεῖνα, ἢ ἡ Δεῖνα ἀξίωσε τὸν ἄνδρα της νὰ γένῃ κερατᾶς.

Εἰ παραδεκτέα αὕτη ἡ τοῦ ἀνωνύμου ἀφήγησις, ἢ μὴ, ἐγὼ μὲν ἰσχυρίσασθαι οὐκ ἔχω.

Κίτρινον χρῶμα, ἀπὸ τῆς τοῦ Κιτρίου μήλου χροιᾶς.

Κόκκαλα καταχρηστικῶς φαμὲν πάντων τῶν ζώων τὰ ὀστά. κόκκαλος δὲ κυρίως ὁ πυρὴν τῶν ἐλαιῶν, καὶ ἄλλων τοιούτων, ὁ καὶ κοκκόνος παρ᾽ Ἡσυχίῳ. μαρτυρεῖ δὲ καὶ ἡ συνήθεια κοκκαλίτζι λέγουσα, καὶ κουκούτζι, τὸ μὲν πρῶτον βαρβαροπαρασχηματισθὲν ἀπὸ τοῦ κοκκάλου, τὸ δεύτερον δὲ ἀπὸ τοῦ κοκκόνου·

Κολοκύθι, κολοκύθιον, ἀποβολῇ τοῦ ν καὶ ὑποκοριστικῶς τῷ σχήματι, ἀντὶ τοῦ κολοκύνθη· ἐξ οὗ καὶ τὸ τῆς συνηθείας κολοκυθίζει, οὐκ ἀκόμψως ἐπὶ σημασίᾳ τοῦ σαλεύειν σχηματισθέν· οἷον, κολοκυθίζει τὸ καράβι, φαμὲν, ὅτ᾽ ἐπ᾽ ἀγκύρας ἱστάμενον, ἀτάκτως ὑπὸ τῶν ἀνέμων κλονεῖται, τουτέστι δίκην ξηρᾶς κολοκύνθης σαλεύει, ἐπὶ τῶν ὑδάτων κυμαινομένης. μεταφορικῶς δὲ καὶ ἐπὶ κλονουμένης ἀνθρώπου καταστάσεως λέγεται· οἷον ἐρωτῶντες, πῶς παγαίνουν αἱ ὑποθέσεις τῆς τοῦ (δεῖνος) καταστάσεως, ἀκούομεν, κολοκυθίζουν·

Κοπαδιαστὰ, ἐπίῤῥημα τῆς συνηθείας, ἀντὶ τοῦ ἀγεληδὸν, παρὰ τὸ κοπάδιον, ποίμνιον.

Κορδέλλαν ἄλλοι, ἡμεῖς δὲ λωρίδα καλοῦμεν, τὴν παρὰ τοῖς ἀρχαίοις μίτραν, καὶ ταινίαν λεγομένην· ἥτις ἐστὶ στενόν τι καὶ ἐπίμηκες ὕφασμα. ἐχρῶντο δὲ τῷ τοιῷδε ὑφάσματι ἐπ᾽ ἄλλοις τε καλλωπισμοῖς, καὶ ἐπὶ ἀναδέσμῳ κόμης, ζώσματί τε τῶν μαστῶν, καὶ ἀντὶ ζώνης.

ἐπὶ ἀναδέσμȣ μὲν κόμης ὡς παρ᾿ Εὐριπίδῃ.

„Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
„μίτραισιν ἐῤῥυθμιζόμαν·

καὶ παρὰ Παυσανίᾳ „Ἀπόλλων ἀναδȣ́μενος ταινίᾳ τὴν κόμην· καὶ παρὰ Λȣκιανῷ· „κερασφόρον, βοτρύοις ἐστεφανωμένον, μίτρᾳ τὴν κόμην ἀναδεδεμένον—„ καὶ ἀλλαχȣ̃ „ἡ πόρπη τις, ἢ ταινία τὸ ἄφετον τῆς κόμης συνδȣ̃σα.

Ἐπὶ μαζῶν δὲ, ὡς παρὰ Νόνῳ

„ . . . . . . ἀπὸ ςέρνοιο δὲ νύμφης
„μίτραν πρῶτον ἔλυσε περίτροχον.

καὶ Ἀλλαχȣ̃·

„ . . . πολυπλεκέεσσι δὲ δεσμοῖς
„μαζῶν κρυπτομένων φθονερὰν ἐπεμέμφετο μίτρην.

„καὶ παρὰ Πολυδεύκει· τὸ δὲ μαζῶν τῶν γυναικείων ζῶσμα, „ταινίαν ὠνόμαζον.

Μίτρα καὶ ἡ ζώνη, διὸ ἄμιτρα ἐκαλεῖτο τὰ μικρὰ κοράσια, τὰ μέχρι τοῦ δεκάτȣ χρόνȣ μίτραις, τȣτέςι ζώναις μὴ ἐπιζωννύμενα. ἡ τοιαύτη δὲ μίτρα, ἢ ζώνη παρθενικὴ παρὰ τῷ ποιητῇ ἐπονομάζεται. (Οδ. λ΄.)

„Λῦσε δὲ παρθενίην ζώνην κατὰ δ᾿ ὕπνον ἔχευεν.

Οἱ δὲ μεταγενέςεροι ἐπὶ τῶν διαδόχων τοῦ Ἀλεξάνδρȣ ταύταις ταῖς ταυτοσημάντοις λέξεσιν ἐχρήσαντο καταχρηςικῶς καὶ ἐπὶ Βασιλικοῦ διαδήματος σημασίας. Εἰκάζειν ἔπεςι τὴν ἀρχὴν τῆς τοιᾶσδε καταχρήσεως προελθεῖν, διὰ τὸ τȣ̀ς Πτωλεμαίȣς καὶ ἄλλȣς Μακεδονικȣ̀ς Βασιλεῖς, εἰς σημεῖον ἴσως τῆς ἀφ᾿ Ἡρακλέȣς μυθολογȣμένης αὐτῶν γενεαλογίας, κατ᾿ ἐξοχὴν ἀναδεῖ-

θαι τὰς κόμας ξενοῖς χρυσοῖς διαδήμασιν ἐν σχήματι ταινίας, ὡς καὶ ἐκ τῶν σωζομένων ἀνδριάντων αὐτων ὁ βουλόμενος μαθεῖν δύναται. Αὐτῶν δὲ τινες καὶ ξὺν προσθήκῃ ἀκτινοειδῶν τινων ἐξοχῶν ἠξίωσαν ἑαυτὲς τε̃ τοιέτε διαδήματος, ὅπερ τῷ θεῷ Ηλίῳ μόνῳ ἦν ἀφοσιωμένον· ὃς μετριοφρονε̃ντες οἱ τῶν Ρωμαίων πρῶτοι Βασιλεῖς, ἐκ ἐμιμήθησαν. Μετὰ θάνατον δὲ ἡ Γερεσία τὰς εἰκόνας αὐτῶν, καὶ τὲς ἀνδριάντας, εἰς σημεῖον ἀποθεώσεως, αὐτῷ δὴ τῷ Ηλιακῷ ἐτίμων διαδήματι.

Καλλίγολας δὲ, Νέρων, καὶ Καρακάλλας καὶ ζῶντες ἐφαίνοντο αὐτῷ ἀναδέμενοι. Μετὰ δὲ Καρακάλλαν καὶ πᾶσι τοῖς μετ᾽ αὐτὸν μοναρχήσασι κοινὴ ἀπεκατέςη ἡ χρῆσις, ὡς καὶ ἐν τῇ γλυφῇ ἀρχαίε δακτυλίε τινὸς τοιέτῳ ἀκτινοειδεῖ διαδήματι ὁ μετὰ Δέκιον μοναρχήσας Γάλλος (*) φαίνεται ἀναδέμενος· ὁμοίως καὶ ὁ ἐν τῷ προνάῳ τῆς ἐν Ρώμῃ ἐκκλησίας τε̃ ἁγίε Πέτρε τε̃ Αποςόλε ἱδρυμένος ἔφιππος ἀνδριὰς τε̃ μεγάλε Κωνςαντίνε.

Ὅτι δὲ ἄλλο μὲν ταινία, ἄλλο δὲ ςέφανος, κἀκ τῶν Λεκιανε̃ πιςώσασθαι ἔχομεν, ἐτωσὶ εἰπόντος „ται„ νίας καὶ ςεφάνες ξηρὲς ἔχοντα. ςεφάνη δὲ καὶ ςέφανος παρὰ

---

(*) Ἔχει δὲ ἡ γλυφὴ καὶ ἐπιγραφὴν Λατινισί. „Imperator Caesar Cajus Vibius Trevonianus Gallus Augustus.

τοῖς ἀρχαίοις ἐπὶ πολλῶν ἐλέγετο, ὡς ἐν τοῖς λεξικοῖς. ςέφανος δὲ κυρίως ὁ ἐκ χλωρῶν ἀκροδρύων, ἢ ἐξ ἀνθέων καὶ πόας πλεκόμενος· ὡς παρὰ Σοφοκλεῖ.

„ἱκτηρίοις κλάδοισιν ἐξεςημμένοι·

καὶ παρ' Εὐριπίδῃ·

„σοὶ κατασέψασ' ἐγὼ νιν, ἦγον ὡς γαμουμένην.

καὶ παρὰ Κλήμ: τῷ Ἀλεξ: — „οἱ μὲν Βακχεύοντες, „οὐδὲν ἄνευ ςεφάνων ὀργιάζουσιν· ἐπὰν δ' ἀμφιθῶνται τὰ ἄνθη, „πρὸς τὴν τελετὴν ὑπερκαίονται" καὶ αἱ μοῦσαι Ἰοςέφανοι, καὶ ὁ Ἀπόλλων δαφνοςέφανος, καὶ ἄλλοι ἄλλως τῶν μυθολογουμένων θεῶν προσεπωνομάζοντο.

Τῆς δὲ Μίτρας ἡ κυρία σημασία ἐν τῷ παρόντι εἰς τοσοῦτον λήθης ἀποκατέςη, ὥςε ὅταν ἀκούεται ἡ λέξις Μίτρα, οὐδὲν ἄλλο ἐννοεῖται, ὅτι μὴ ἡ ἀρχιερατικὴ τιάρα.

Κορίτζι, κορίτζιον, ἀντὶ τοῦ κορίσκιον, ἣ φησιν ὁ Κοραῆς βαρβάρῳ τροπῇ τοῦ σκι εἰς τὸ ἐπίτριπτον τζι.

Κόρδα, παρατροπῇ βαρβάρῳ τῶν συλλαβῶν, ἀντὶ τοῦ χορδή· ἐξ οὗ καὶ ῥῆμα κορδίζω ἐπὶ τοῦ τὰς χορδὰς τῶν μουσικῶν ὀργάνων τείνειν λεγόμενον.

Κορμὶ, κορμίον λέγεται τὰ νῦν τὸ ἀνθρώπινον σῶμα, ἐκ μεταφορᾶς τοῦ κορμοῦ τῶν δένδρων, τοῦ ὑπὸ τῆς συνηθείας πρὸ πολλῶν αἰώνων ἀπὸ τῶν δένδρων εἰς τὸ ἀνθρώπινον σῶμα μετενεχθέντος, ὡς ὁ Κοραῆς ἐν ταῖς εἰς Ἡλιόδωρον σημειώσεσι τρανωτέρως

περὶ τέτε διέξεισι, παράγων προσεπιμαρτυρᾶντα ἀδέπως καὶ τὸν Εὐςάθιον· „ τὸ ἀπὸ τᾶ τραχήλε μέχρις αἰδοίων κύτος τοῦ σώματος, δίχα χειρῶν, θώρακά τινες „ καλᾶσιν· ἕτεροι δὲ κορμὸν ἰδιωτικῶς.

Κόρφος, ἀντὶ τοῦ Κόλπος·

Κοσσίζω ῥῆμα τῆς συνηθείας ἐπὶ τοῦ ταῖς λεγομέναις κόσσαις τὸν χόρτον κόπτειν κυρίως λεγόμενον. ἡ δὲ κόσσα εἶδος ἐςὶν ἅρπης, ἤτοι μαχαίρας μακροκαμπύλης, ἐπὶ τῷ κοσσίζειν ἐπιτηδείε. ἀμφότερα δὲ ταῦτα τό,τε κοσσίζειν καὶ ἡ κόσσα ἀναμφίβολον ἔχεσι τὴν παραγωγὴν παρὰ τὸ, κόσσω Αἰωλικῶς, εἰς τὸ κόπτω ὑπὸ τῶν Ἀττικῶν μεταχηματιθὲν, ᾗ φησὶν ὁ Κοραῆς (ςοχασμ: σελ: υβ´) ἐυςόχως πάνυ τοῦτο τεκμαιρόμενος·

Τὴν κόσταν καὶ οἱ Πολλωνοὶ, καὶ οἱ Ῥῶσσοι κόσσαν καλᾶσι, καὶ οἱ τὸν χόρτον κοσσίζοντες ἐργάται, κοσσαροὶ παρ' αὐτοῖς ὀνομάζονται. Ἐκ τούτε ὑπολαβεῖν πάντη πιθανὸν, ὅτι αὐτὰ τὰ Βόρεια ἔθνη, ὅτε ἤρξαντο καλῶς πολιτεύεσθαι, καὶ βεβαίως ἐν πόλεσι κατοικεῖν καὶ χώραις, παρέλαβον τᾶτε κοσσίζειν καὶ τῆς κόσσης παρὰ τῶν γειτνιαζόντων Γραικῶν καὶ τὴν χρῆσιν, καὶ τὴν κλῆσιν. Κατ' ἀρχὰς γὰρ τὸ πάλαι, καθὸ ἁμαξόβιοι, τῇδε κἀκεῖσε μετὰ τῶν σφετέρων θρεμμάτων πλανώμενοι, οὐκ ἐγίνωσκον τὴν χρῆσιν τοῦ χόρτον κοσσίζειν, ἀλλ' οὐδ' ἐφρόντιζον περὶ τέτε· ἅτε δὴ τὰ κτήνη αὐτῶν ἐν χειμῶνι αὐτὰ καθ' ἑαυτὰ ἐξεύρισ-

κον τὴν ἀναγκαίαν τροφὴν, τοῖς ποσὶ σκαλεύοντα τὴν χιόνα καθὰ καὶ νῦν ἔτι οἱ τῆς αὐτονόμε Ταρταρίας Καϊσὰκ Κιργίζοι καλούμενοι, σκηνῖται, οἱ τοῖς Ῥωσσικοῖς ὁρίοις ἀμέσως γειτνιῶντες, τὴν τοῦ κοσσίζειν χρῆσιν παντάπασιν ἀγνοῦσιν. Ὁπόταν δὲ ὁ Χάνης αὐτῶν ἔχειν ἐπιθυμεῖ κεκοσσισμένον, καὶ ἐσοιβασμένον χόρτον, πρὸς τροφὴν ἐν χειμῶνι τῶν φατνιζομένων αὐτῷ ἵππων, μισθοῦται τοὺς λεγομένους κοσσαρὲς ἐκ τῶν πλησιοχώρων Ῥωσσικῶν Κοζάκων. Τοιγαροῦν καὶ αὐτοὶ οἱ ὑπερβόρειοι Τάρταροι τὴν κόσσαν κατὰ μίμησιν τῶν Ῥώσσων Κόσσαν Ἑλληνιστὶ καλοῦσι.

Κουλλὸς, ἀντὶ Κυλλὸς, ὁ τὴν χεῖρα, ἢ τὸν πόδα πεπηρωμένος Ἀττικῶς. Ὅμηρος δὲ ἐπὶ ποδῶν μόνον ἐχρήσατο τῇ λέξει, ὡς τὸ, κυλλοποδίων, τοῦ Ἡφαίστου ἐπίθετον, ὡς χωλεύοντος· μεταφορικῶς δὲ κουλλὸς, ὁ τὸν νοῦν πεπηρωμένος.

Κοῦππα, ποτήριον, ἀπὸ τοῦ Ἰταλιστὶ coppa.

Κουράδι, κουράδιον, κωράδιον τὸ σκατὸν, ἀντὶ τοῦ σκωράδιον τὸ ὑποκοριστικὸν τοῦ, σκὼρ πρωτοτύπου, ἀποβαλῇ τοῦ σ, καθὼς ὁ Κοραῆς ἐσημειώσατο, εἰπὼν — „ τὸ κωράδιον „ καὶ κουράδιον, καὶ κουράδι οὐδὲν ἕτερον, ἢ τὸ παρὰ τοῖς ἀρχαί„οις σκὼρ, ἢ τὴν γενικὴν σκατὸς, μετεποίησεν ἡ ἀρχαία συνήθεια „ εἰς τὴν εὐθεῖαν, σκατόν.

Κούρεντα, ἀντὶ Κόραντα καὶ κόρεντα, μοῖρα τῆς ἡμετέρας Κασσιοπαίας καὶ ἦν, καὶ νῦν τυγχάνει οὖσα,

συνισαμένη ὑπὸ πολλῶν χωρίων, γενικῷ τῷ, Κούρεντα, γνωριζομένων ὀνόματι, καί τοι ἑκάσȣ αὐτῶν ἴδιον ἔχοντος ὄνομα, ἑνὸς δὲ κατ' ἐξοχὴν αὐτῷ μόνῳ τῷ Κούρεντα καλουμένȣ ὀνόματι· ἥτις βαρβαρικῶς ναὲς τοῦ Κουρέντȣ λέγεται, δεχομένη καὶ ἴδιον κριτὴν, τὸν Τȣρκιςὶ καδὴν λεγόμενον. οἱ κάτοικοι αὐτῆς φιλόπονοί τε εἰσι καὶ ἀνδρεῖοι, καὶ ὡς ἐπὶ τὸ πλεῖςον χρηςῶν ἠθῶν, καὶ ἡ προφορικὴ αὐτῶν ὁμιλία καθαρωτέρα τῆς ἡμῶν τῶν πολιτῶν·

Κȣτουλος παρ' ἡμῖν εἶδος καυκίȣ, ἢ μονώτȣ ξυλίνου ἀγγείȣ ἀντὶ τοῦ, Κότυλος, καὶ Κοτύλη.

Κȣτȣρῶ, ἀντὶ τȣ͂ ἐνάρχομαί τινος ἔργȣ ἄνευ συςολῆς, καὶ φόβȣ, ἢ γίνομαι ῥιψοκίνδυνος, ἢ ἀποτολμῶ, παρὰ τὸ, κότος, ταυτοσημάντως τῷ ἀποκοτῶ· ὁ γὰρ κότος πρὸς ἄλλοις σημαινομένοις καὶ αὐθαδείας καὶ τόλμης σημαντικός.

† Κȣττελον, τὸ ἔμπροσθεν τῆς κεφαλῆς.

Κρασὶ κρασίον φαμὲν τὸν οἶνον παρὰ τὸ κρᾶσις. Περὶ τȣ́τȣ ἔπιθι τὰς εἰς Ἡλιόδωρον σημειώσεις τȣ͂ Κοραῆ (σελ: 253) ἀλλ' ἵνα σε, ὦ φιλότης, ἀπαλλάξω τȣ͂ βάρȣς, ἰδȣ̀ ταυτολεξεὶ τὰ αὐτῷ ἐκεῖ εἰρημένα „σημείωσαι τὴν λέξιν, ἀπ' αὐτῶν ἤδη τῶν Πλȣτάρ-
„χȣ καιρῶν συνωνύμως τῷ, οἶνος, ἐκλαμβάνεσθαι ἀρξαμένην.
„ȣ῝τος γάρ (γαμ: παράγγελ:) τά δε φησί.
„τὸ κρᾶμα, καί τοι ὕδατος μετέχον πλείονος, οἶνον κα-
„λȣ͂μεν“ ἐντεῦθεν ἡ συνήθεια κρᾶσιν θηλυκῶς ἐκάλεσε πρω-

„ τον τὸν οἶνον, ἔπειτα χυδαΐσασα τὴν λέξιν ἐπὶ πλέον, κρασίον καὶ κρασὶν ὑποκοριστικῶς καὶ οὐδετέρως ἐκάλεσε.“

Κρουστὸν τὸ πυκνὸν λέγομεν, οἷον κρουστὸ πανὶ, καὶ ἄλλα εἴδη. Οὐκ ἀπέοικεν ὑπολαβεῖν τὸ, κρουστὸν, παρὰ τὸ κρούεσθαι παραχθὲν, διὰ τὸ τὰ ὑφάσματα, πλεῖον ἐν τῷ ὑφαίνεσθαι κρουόμενα, πλεῖον καὶ πυκνοῦσθαι.

Κρύβομαι, ἀντὶ τοῦ κρύπτομαι. τῶν ἀρχαίων ἡ χρῆσις καὶ διὰ τοῦ β ἐκφέρειν, ὡς καὶ τὰ, κρυβάζειν, κρύβδην, καὶ βασ: δ': κεφ: ιά. „ καὶ ἦν μετ' αὐτῆς κρυβόμενος ἐν οἴκῳ κυρίου ἓξ ἔτη.

Καύκαλον φαμὲν τὸ κρανίον, ἴσως ἀπὸ τοῦ, ἥ φησιν Ἡσύχιος, Καυαλέον, ἢ καυαλὲς, ὅπερ παρὰ τοῖς Αἰωλεῦσι πρὸς ἄλλοις σημαινομένοις σημαντικὸν ἦν καὶ τοῦ ξηροῦ. Πιστοῦται τοῦ, τε Καυκάλου, καὶ τοῦ ξηροῦ τὴν συνωνυμίαν καὶ ἡ ἐπικρατοῦσα συνήθεια, ἅτε ἀμφοτέροις ἐπὶ τοῦ κρανίου χρωμένη, οἷον, ὅταν ἐπὶ τωθασμῷ φαμὲν „ τὸ καύκαλό σου κακοῤῥόιζικε εἶναι „ παντάπασιν ἄδειον. — „ νὰ ζήσῃ τὸ ξηρό σου· καύκαλα λέγονται καὶ τὰ ὀστώδη περικαλύμματα τῶν ὀστρακοδερμάτων, οἷον, τὸ καύκαλον τῆς πίννας, τοῦ καβούρου, τῆς χελώνης.

Κατατρέχω, κατατρέχω, καταπιέζω, κατατρύχω, ὡς τὸ „ κατατρεχομένη δ' ὑπὸ τῶν βαρβάρων, ἠναγκάσθη ἐλέσθαι Μιθριδάτην τὸν Εὐπάτορα.

Κενῶ καὶ κουνίζω, σείω, ταράττω, δονῶ, παρὰ τὸ κένιον, τὸ τῶν νεογνῶν κοιμάτηριον Κιβώτιον, ἐν ᾧ τιθέμενα, καὶ δονέμενα κατακοιμίζεται.

Κυττάζω, ἀντὶ τȣ̃ θεωρῶ, ἢ ἀφορῶ, καὶ ἀντὶ τȣ̃ περιποιȣ̃μαι, ἢ προσέχω, ἢ ἐνασχολȣ̃μαι, ἐκλαμβανόμενον. Α᾽νέγνως ἀνωτέρω, ὦ φιλότης, τὴν ἐμὴν ἀπορίαν ἐν τῷ, κοιτάζω, διατὶ παρὰ πᾶσι γράφεται μετὰ διφθόγγȣ· ἔπιθι λοιπὸν καὶ τὴν 4β. σελίδα τῶν περὶ τῆς Ἑλληνικῆς παιδείας καὶ γλώσσης ςοχασμῶν τȣ̃ Κοραῆ, ἵνα εἰδῇς, ὡς ἄρτι κἀγὼ, ὅτι γραπτέον τȣ̃το μετὰ τȣ̃ $\overline{\upsilon}$, καὶ δύο τ Αἰωλικῶς, κυττάζω.

† Καρδάρα λέγεται παρ᾽ ἡμῖν μικρὸς καδίσκος· ἐξ ȣ̃ καὶ καρδαροςάτης, ἐφ᾽ ȣ̃ τίθεται τὰ ὕδατος γέμοντα ἀγγεῖα.

Κοτᾶ, δὲν κοτῶ νὰ τὸ κάμω, ȣ̓ τολμῶ τȣ̃το ποιῆσαι, ταυτοδύναμον τῷ, ἀποκοτῶ· παρὰ τὸ, κότος, τόλμη, θράσος, ὡς προείρηται ἐν τῷ, ἀποκοτῶ.

Κορῶνα, ἀντὶ κορώνη εἶδος ςεφάνȣ, ἥ φησιν Ἡσύχιος· τὰ νῦν δὲ τὸ, Κορῶνα, σημαντικὸν διαδήματος Βασιλικȣ̃, καὶ τιάρας ἀρχιερατικῆς.

# Λ.

Λαγαρὸν, ἥ φησι Σϋΐδας, τὸ ἀραιὸν, ὑπόκενον· τὰ νῦν δὲ λαγαρὰ φαμὲν τὰ ἀραιότριχα μέρη τῶν δερμάτων. λαγάραν δὲ θηλυκῶς τὸ καθαρώτατον τοῦ ἀργύρου. καὶ ῥῆμα λαγαρίζω ἐπὶ μεταλλείων, ἀντὶ τοῦ ἀποκρίνω, ἔσθ' ὅτε δὲ καὶ ἐπ' ἄλλων· οἷον, λαγαρισμένο βοῦτυρον.

Λαβαίνω, ἀντὶ τοῦ λαμβάνω. ὥσπερ ἡ παλαιὰ χρῆσις ἐσχημάτισε τὸ λαμβάνω, ἀπὸ τοῦ ἀρχαίου, λήβω, οὕτω καὶ ἡ συνήθεια τὸ λαβαίνω, ἀπὸ τοῦ λαμβάνω, κατὰ μίμησιν τοῦ παθαίνω.

† Λαβόνω, ἀντὶ τραυματίζω.

Λάγγερος, ὀξύκρατον.

Λαγγόνι, ἀντὶ τοῦ λαγών.

† Λαγκάδι, ἀντὶ τοῦ δάσος.

Λαγὸς, ὁ καὶ λαγὼς, καὶ Λαγωὸς. διετήρησεν ἡ συνήθεια τὴν τοῦ δισυλλάβως βραχυκαταλήκτου, Λαγὸς, ἀρχαίαν χρῆσιν. καὶ ἐν ἐπιγράμματι. „ αἰθέ„ ρα λοιπὸν ἔχοιτε Λαγοὶ βατόν.

Λαγύνι, λαγύνιον, οἰνηρὸν σαμνίον, τὸ ὑποκοριστικὸν τοῦ λάγυνος, ὡς παρ' Ἡσυχίῳ, Βυτίνη, Λάγυνος. καὶ Λουκιανὸς παίζων τὸν λεξιφάνην, καὶ αὐτῆς ἐμνήσθη τῆς λέξεως, ὡς μὴ ἐγκρινομένης ἴσως καὶ ταύτης

παρὰ τοῖς Ἀττικίζουσι, παράγων αὐτὸν ὡδέπως ληρȣ̃ντα „ πίνωμεν ȣ̃ν, ἦδ' ὕς ὁ Μεγαλώνυμος· καὶ γὰρ „ λάγυνον τȣτονὶ παρηβηκότος ἥκω ὑμῖν κομίζων.

Λάδι τὸ ἔλαιον, παρὰ τὸ ἐλάα, ὁ καρπὸς τῆς ἐλαίας, καὶ ὑποκοριστικῶς ἐλάδιον· ἐκθλιβομένȣ δὲ κοινῇ συνηθείᾳ τȣ̃ ἀρχικȣ̃ ε, λάδιον καὶ χυδαιοτέρως λάδι.

† Λακτάρα, ἵμερος, ἐπιπόθησις· καὶ ῥῆμα λακταρίζω.

Λάκα φαμὲν, τὸ πίνειν τὸ ποτήριον ἀμυστὶ· οἷον, τώκαμε λάκα, παρὰ τὸ λακεῖν· ὃ λάκησις ἐλέγετο.

Λαλαγγήτα, ἐκ μεταφορᾶς ἴσως τῆς ἐν τῷ τηγάνῳ λαλαγῆς.

Λάμια. γνωστὴ ἡ περὶ τῆς Λαμίας μυθολογία· καὶ μέχρι τȣ̃δε αἱ τίτθαι παρ' ἡμῖν τῷ ὀνόματι τῆς Λαμίας ἐκφοβȣ̃σι τὰ βρέφη, ὡς καὶ τὸ πάλαι σύνηθες ἦν τȣ̃το, ᾗ φησι Λȣκιανὸς „ παίδων ψυχὰς „ κηλεῖν δυνάμενα, ἔτι τὴν Μορμὼ, καὶ τὴν Λάμιαν δεδιό„ των."

Λαμπικάρω, ξένη ἡ λέξις, ἀντὶ τȣ̃ ἀποκρίνω.

Λάμπρος κύριον ὄνομα καὶ νῦν ἐστι, ἥπερ καὶ τὸ πάλαι, ὡς παρὰ τῇ Βασιλίσσῃ Εὐδοκίᾳ ἐν τῷ περὶ Ἀριστοξένȣ — „ ἀκουστὴς τȣ̃ τε πατρὸς, καὶ Λάμπρȣ τȣ̃ „ Ἐρυθραίȣ.

Λανάρι, λανάριον, κτενὸς εἶδος, σιδηρεῖς ἔχουσης τοὺς ὀδόντας, λίνων τε καὶ ἐρίων ἐπ' ἐργασίᾳ χρήσιμον.

Λάσπη, βόρβορος, ἰλὺς, ἴσως ἀπ' αὐτοῦ τοῦ ἰλὺς, καὶ τοῦ σπῶ ῥήματος, τὸ καθέλκω, ἰλάσπη, ἀποβολῇ δὲ χυδαϊκῇ τοῦ ι ἀρχικοῦ, λάσπη· καὶ Γρηγόριος ὁ Θεολόγος ἔφη. — „Ἰλυσπώμενος."

Λαρδὶ, τὸ ὕειον στέαρ, παρὰ τοῦ Ἰταλιστὶ, lardo.

Λαχαίνει, λαχαίνει, συμβαίνει, ἀπὸ τοῦ λαχεῖν, ἐξ οὗ καὶ λαχνὸς, ὁ κλῆρος, ἀντὶ τοῦ λαχμός.

† Λεβίθαι, σκώληκες οἱ ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις γεννώμενοι, ἐν διαφόροις τοῖς σχήμασι, καὶ τοῖς μεγέθεσιν, ἀντὶ τοῦ Ἕλμυνθες, ἣ φησιν ὁ τοῦ Θεοκρίτου σχολιαστὴς — „ὅθεν καὶ ὀμφάκινον ἔλαιον, τὸ ἐξ „ἀώρων ἐλαιῶν γινόμενον· ὃ δὴ πινόμενον, τοὺς ἐν τῇ κοιλίᾳ „πλατείας ἕλμυνθας ἀναιρεῖ. Ἡσύχιος δὲ λίμινθας καλεῖ.

Λεγκρὶ παρ' ἡμῖν, καλῶς δὲ παρ' ἄλλοις λιρὶ, λιρίον, τὸ ἐπὶ τῆς κεφαλῆς τοῦ τε ἀλεκτρυῶνος, καὶ τῆς κόττας κρεατῶδες καὶ τῷ χρώματι κόκκινον κτένιον, ἐκ μεταφορᾶς τοῦ κυρίως, λιρίον, τὸ κρίνον.

Λέμε, λέτε, λὲς, λὲν, ἀντὶ λέγομεν, λέγετε, λέγεις, λέγουσι. κακοζήλως ἡ συνήθεια ἐμιμήσατο τὰς τῶν ἀρχαίων κανονικὰς κατ' ἀφαίρεσιν χρήσεις τῶν, κρῆς, βᾶμες, στὰν, φὰν, φθὰν, ἀντὶ, κρέας, βαίνομεν, ἔστησαν, ἔφησαν, ἔφθασαν, καὶ ἄλλων.

καὶ ἐν τῇ παροιμίᾳ.

,, ἐγὼ νὰ μὴν σοῦ δίδω, καὶ ὁ κόσμος ἂς λέν:

Λέπι λέπιον, ἀντὶ λέπος.

Λεπτὸν, λεπτὸν, τὸ λιανόν.

Λέρα, ῥῦπος, ἴσως παρὰ τοῦ, ἀλέρον, ἀποβολῇ τοῦ α ἀρχικοῦ.

Λεχήνα, ἀπὸ τῆς αἰτιατικῆς τοῦ, λειχὴν λειχῆνος.

Λευρὸν τὸ λεῖον κυρίως· λευρὰ δὲ δέρματα λέγεται τὰ νῦν, τοῦτέστι τὰ ἀραιότριχα.

Λησμονῶ, καὶ κατ' ἀττικισμὸν ἀλησμονῶ, παρὰ τὸ, λέλησμαι.

Λεύκα, λεύκα, δένδρον ὑψήκομον, ὡς παρὰ Θεοκρ: (εἰδ: κϛ.)

,, Λεῦκαι τε, πλάτανοί τε, καὶ ἀκρόκομοι κυπάρισσοι.

Λεχοῦσα, ἀντὶ λεχὼ, ἡ μετὰ τὸ τεκεῖν ἐν τῷ λέχει κοιταζομένη.

Λιάζω, καὶ Λιάζομαι, δυσήνῳ ἀποβολῇ τοῦ ἀρχικοῦ η, ἀντὶ Ἡλιάζω, Ἡλιάζομαι, ὑπὸ τῷ ἡλίῳ θερμαίνομαι. Τοῦ τῇ συνηθείᾳ ἀγνῶστου, λιάζω, ῥήματος ἄλλα τὰ σημαινόμενα. καὶ Ὅμηρος ἔφη.

,, ὡς εἰπὸν, σταθμοῖο παρὰ κληῖδα λιάσθη.

,, ἐς πνοὰς ἀνέμων , . . . . .

Λιανίζω, λιανεύω, ἀντὶ λιανέω.

Λιμάζω, λίμα παρὰ τὸ, λιμός.

Λίγδα, ἀντὶ τοῦ λίγδος, πιμελὴ κυρίως ἡ ἄπηκτος διαμένουσα, οἷαι ἡ χοιρεία, καὶ ἡ κητώδης. ὅτι τοῦ κυρίως λίγδα (καὶ οὐχὶ λίγδος) ἀλλα τὰ σημαινόμενα· κατ' ἄγνοιαν δὲ ἡ συνήθεια πᾶσαν λιπαρότητα τὴν ἐπὶ τῶν ζωμῶν, λίγδαν καλεῖ.

Λιγώνει, ἢ παρὰ τὸ λιγαίνειν, ἡδύνειν, ἢ ἀπὸ τοῦ ὀλιγοῦσθαι.

Λιχνίζω, ἀντὶ τοῦ λικμίζω, παρὰ τὸ, λικμῶ.

Λίξουδος, καὶ λίχουδος, παρὰ τὸ, λίχνος, ὁ λαίμαργος.

Λιπασιὰ ἀντὶ λιπασία, παρὰ τὸ Λῖπος, στέαρ. λιπασιὰ, τὸ κοινῶς πάχος, ἀξύγγιον.

† Λογῆς, λογῶν, καὶ λογιῶν. τούτου ἡ εὐθεῖα, λογὴ, εὕρηται παρὰ Γερασίμῳ τῷ Βλάχῳ, ἐξηγουμένῳ οὐδέπως, λογὴ, στάσις, κατάστασις, τρόπος.

Λουκάνικον, Λευκανικὸς τουτέστιν ἀλλὰς, ὁ κατ' ἐξαίρεσιν τῶν ἄλλων ἀλλάντων οὕτω κληθεὶς, ἀπὸ τῆς ἐν τῇ μεγάλῃ Ἑλλάδι Λευκανίας, τῆς καὶ πατρίδος Ὀκέλλου τοῦ Λευκανοῦ, Λουκάνας ὑπὸ τῶν Ἰταλῶν, ἢ διέξεισιν Ἰωσὴφ ὁ Γαλάντης, λεγομένης· ἐν αὐτῇ γὰρ τῇ ἐπαρχίᾳ καὶ μέχρι τοῦδε τὰ ὕεια κρέα, ἡδύτατάτε καὶ νοστιμώτατά ἐστι, διὰ τὸ τοὺς χοίρους καστάνοις ὡς ἐπὶ τὸ πλεῖστον τρέφεσθαι, πολλοῖς

γε ἐκεῖ ὖσι· διὸ καὶ τὰ ἐξ αὐτῶν ταριχευτά, καὶ οἱ ἀλλάντες ἐν τιμῇ ἦσαν τὸ πάλαι, κατ' ἐξοχὴν Λευκανικοὶ καλέμενοι, Λατινιςὶ δὲ Λυκάνικαι· καθὰ καὶ μέχρι τῦ νῦν παρὰ πᾶσι τοῖς ἡμετέροις κακοζήλως οἱ ἀλλάντες, Λυκάνικα, ἀντὶ τῦ Λευκανικοὶ, λέγονται.

καὶ ἐν τῇ παροιμίᾳ.

„ ἀπὸ μῆλο ὡς αὐγὸ, νά κυρά λυκάνικο.

Οὐ τῶν περιττῶν εἰδέναι, ὅτι πρωτεύυσα πόλις ἦν ποτε τῆς Λευκανίας ἡ Ποσειδωνία· ἥτις τὰ νῦν εἰς κωμόπολιν ἀπεκατέςη, Πέςο λιγομένη· ἡ δὲ ἀκρόπολις αὐτῆς, συνεχομένη ὖσα αὐτῇ τὸ πάλαι, (ὡς ὁ Πηρεεὺς ταῖς Ἀθήναις) σώζεται μέχρι τῦδε, πόλεως ἐπέχυσα ἀξίωμα, Ἀγρόπολις βαρβάρῳ τροπῇ τῦ κ εἰς γ, λεγομένη.

Ἐλέα, δευτέρα πόλις τῆς Λευκανίας, Φωκαίων ἄποικος, ἔνδοξος τὸ πάλαι, ἡ καὶ πατρὶς τῶν Ἐλεάτων καλουμένων φιλοσόφων, Παρμενίδυ, Ζήνωνος, Λευκίππυ, καὶ Παλαμήδους τῦ γραμματικῦ, καὶ τελευταίυ Φιλοσόφυ Τρεβασίυ, τῦ Κικέρωνι ἐπιτηδείυ. Αὕτη ἡ πόλις διὰ τὴν ἔκπαλαι μεταξὺ αὐτῆς καὶ τῶν Ῥωμαίων φιλίαν τε, καὶ συμμαχίαν, ὅτε ὑπετάγη αὐτοῖς, ἐν τιμῇ παρ' αὐτοῖς ὑπῆρξε· διὸ καὶ μεῖον τῶν ἄλλων Ἑλληνικῶν ἐν τῷ τότε ἔπαθε πό-

λεων. Μετὰ δὲ τὴν παντελῆ τȣ̃ Δυτικȣ̃ τῆς Ῥώμης Ἰμπερίȣ καταςροφὴν πολλὰ παθοῦσα ὑπό τε τῶν Γότθων καὶ τῶν Σαρακηνῶν, τέλος κατηδαφίσθη. Ἐκαλεῖτο καὶ Βύλη κατὰ Στέφανον τὸν Βυζάντιον, καὶ Βελία Ἰταλιςὶ κατὰ τὸν Γαλάντην. Ἐπὶ δὲ τῶν ἐρειπίων αὐτῆς, μετὰ παρέλευσιν αἰώνων πολλῶν ἐκτίσθη ἡ νῦν Καςέλλ᾽ ά μάρε δέλλα Βροῦσκα λεγομένη πόλις.

Λȣλȣ́δια, ἴσως ἀντὶ λωλȣ́δια, παρὰ τὸ, λωλεύειν, τὸ ἀνθεῖν.

Λȣφάζω, παρὰ τὸ, λαφῶ, τὸ παύω, ἢ σιωπῶ, ἢ ἠρεμῶ·

Λύγγιασμα, καὶ ῥῆμα λυγγιάζω, σχηματισθέντα ὑπὸ τῆς συνηθείας παρὰ τὸ, λύγξ, ἡ τοῦ ςομάχȣ σπασματώδης κίνησις, δι᾽ ἄμετρον κένωσιν, ἢ πλήρωσιν γινομένη.

Λύγισμα, κάμψις, σύγκλασμα, ἀνάκλασις τῶν μελῶν, παρὰ τὸ, λυγίζω, λυγίζεται. Σειέται, καὶ λυγιέται φαμὲν, ἀντὶ σείεται, καὶ λυγίζεται· παρὰ τὸ λύγος, ἱμαντῶδες φυτὸν, ἐξ ȣ̃ πλέκονται τὰ κανίςρια, καὶ ἄλλα εἴδη.

Λυμπὰ λέγονται παρ᾽ ἡμῖν οἱ ὄρχεις, τὸ ἀπρεπὲς τȣ̃ τῶν ὄρχεων φυλαττομένοις ὀνόματος, ἴσως παρὰ τὸ, λύμπη, πόνος καθ᾽ Ἡσύχιον· πονȣ̃σι γὰρ αὐ-

τὰ, ὅταν ἀφροντίστως θλίβονται· ὡς ἂν εἰ ἐλέγομεν, τὰ πονοῦντα.

Λύκος τὸ θηρίον· μεταφορικῶς δὲ παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς καὶ ὁ μάνδαλος λύκος λέγεται.

† Λωλὸς, ἄφρων.

Λωρὶ λωρίον, τὸ ὑποκοριστικὸν λώρου, ἱμάντος καθ' Ἡσίχιον.

# M.

Μὰ τὸ ἡμέτερον ἐπὶ κατομώσεως, οἷον, μὰ τὸν ἐρανόν· τὸ δὲ μὰ, ἀντὶ τῦ ὅμως λεγόμενον, ἐξ Ἰταλῶν ἐςί.

Μαγάρισμα, μολυσμὸς. μαγαρίζει, μολύνει· μαγαρισμένος, μεμολυσμένος, ἴσως παρὰ τὸ Ἰταλιςὶ, macchiare.

Μάγγανον, μηχανικὸν ἐργαλεῖον· μάγγανα λέγονται καὶ αἱ ἔριδες, διαφοραὶ, καὶ ἐν τῇ παροιμίᾳ.

„κάλλια λίγια ςὸ χωράφι, παρὰ μάγγανα ς' ἀλῶνι.

μάγγανα καθ' Ἡσύχιον, φάρμακα, δίκτυα, μηχανήματα· καὶ Λȣκιανὸς ἔφη „ἐπὶ τȣ̀ς ἀλλοτρίȣς „ἐραςὰς μαγγανεύȣσα.

† Μάγȣλα, γνάθοι.

Μαδίζει παρὰ τὸ μαδᾷν.

Μαζόνω ςαφύλια, φύλλα, παρὰ τὸ μαζῶ, τρυγῶ.

Μακάρι, ἀντὶ τῦ, εἴθε· ἴσως κατὰ χυδαϊκὴν ἐπιτομὴν τῦ, μακαρία ἡ ὥρα.

Μαλάζω Αἰολικῶς φαμὲν ἀντὶ τῦ κοινῶς μαλάσσω.

Μαλλιαρὸς ὁ τριχώδης, παρὰ τὸ, μαλλὸς, μαλλίον· ἐξ ȣ̃ καὶ ῥῆμα, οἷον ἐμάλλιασεν ἡ γλῶσσα μȣ.

Μαλλόνω, ἀντὶ τȣ͂ ἐρίζω, κατὰ παραφθορὰν ἴσως τῶν συλλαβῶν, ἀπὸ τȣ͂ ἁμιλλάομαι.

Μανίζω, ἀγανακτῶ, ὀργίζομαι, ἀντὶ μηνίζω.

Μανίκι ἀπὸ τȣ͂ Ἰταλικȣ͂, μάνικα, καὶ ἐν τῇ παροιμίᾳ.

„ καλά 'ν' τά πλατυμάνικα, μά τό πανὶ δὲν φτάνει.

Μανιτάριον ὑποκοριστικῶς, ἀντὶ τȣ͂, μανίτης, μύκης.

Μάννα, μήτηρ. καὶ Λȣκιανός ἔφη „ ναὶ μαννάριον.

Μάννος κύριον ὄνομα, ὁ παρὰ τοῖς πάλαι μάννης.

Μάνταλος, ἀντὶ μάνδαλος, ὡς παρ' Ἡσυχίῳ „ κάβλα, „ λύκος, πάρπαγος, ὁ ἄνω τῆς θύρας μάνδαλος.

Μάξιμος, Ἠπειράτης φιλόσοφος, διδάσκαλος Ἰȣλιανȣ͂.

Μαργόνει, ἐν χρήσει παρ' ἡμῖν ἀντὶ τȣ͂ ῥιγᾷ ὑπὸ τȣ͂ κρύȣς. τὸ δὲ παρὰ τοῖς ἀρχαίοις μαργαίνειν, μανίας, ἐνθουσιασμȣ͂, καὶ ὀργῆς σημαντικὸν, ὡς παρ' Ὁμήρῳ.

„ μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.

Μαρκιέται τὸ Βόϊδι φαμὲν, ἀντὶ τȣ͂ μαρυκᾶται, ἢ μαρκῶται, ἐν τῷ ἀναπέμπειν τὴν τροφὴν, καὶ πάλιν αὐτὴν ἀναμαστᾶσθαι.

Μαργιόλος, πονηρὸς, παρὰ τȣ͂ Ἰταλιστὶ mariuolo.

**Μάρτυρας**, καὶ μάρτυρος, τȣ̃ μαρτύρȣ, οἱ μάρτυροι, τȣ̀ς μαρτύρȣς Αἰολικῶς φαμὲν, ἀντὶ τȣ̃ κοινῶς, ὁ μάρτυς, τȣ̃ μάρτυρος, οἱ μάρτυρες. ὡς παρ' Ὅμ: (Ὀδ: ξ.)

„ ἀλλά γε νῦν ῥήτρην ποιησόμεθα, αὐτὰρ ὄπισθεν
„ μάρτυροι ἀμφοτέροισι θεοὶ, τοὶ Ὄλυμπον ἔχȣσι.

**Μάρω** κύριον ὄνομα. Σώζετ' ἔτι παρ' ἡμῖν ἡ εἰς ω̅ κατάληξις γυναικείων ὀνομάτων, οἷον, Δράκω, Μίλω, Δέσπω, Γογγύλω, Κρυςάλω, Ἀγγέλω, Χάϊδω, Λάμπρω, Ἀσήμω, Ἀργύρω, Στάμω, Κάλω, καὶ ἄλλα, κατὰ τὰ παρὰ τοῖς ἀρχαίοις, Λητὼ, Σαπφὼ, Κλωθὼ, Ἐρατὼ, Φυλὼ, Λαμπαδὼ, καὶ ἄλλα.

**Μάσσε** τὸ τραπέζι, φαμὲν, ἴσως ἀπὸ τȣ̃, μάττω· καὶ Ἡσύχιος ἐν τῇ λέξει, μαζῶντα, τὸν μάττοντα τὰς μάζας, ἔφη.

Μασσῶ, μασσῶ, μάσσημα.

Μάςακας, ἀντὶ τȣ̃, μάςαξ, τὸ πηδητικὸν ζωΰφιον· μάςακες, καὶ μαςάκοι λέγονται παρ' ἡμῖν τοῖς Ἠπειρώταις ἐκεῖνα τῶν ζωϋφίων, ἀπὸ Ἀκρίδος τῆς μήπω πτεροφυσάσης μέχρι τῶν μικροτέρων, τὰ πηδήματι μεταβαίνοντα ἀπὸ τόπȣ εἰς τόπον, ἢ φεύγοντα τȣ̀ς λαμβάνοντας, τὰ τῷ εἴδει καὶ σχήματι παρόμοια τυγχάνοντα, μόνοις δὲ τοῖς μεγέθεσι, καὶ τοῖς χρώμασι διαφέροντα, ἅπερ διὰ τὰς ὀρ-

νεις τροφὴ ἡδίςη λογίζεται. Ἐμνήσθη αὐτῶν καὶ Ὅμηρος ἐν τῷ.

( Ἰλ: Ι.)

„ ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
„ Μάςακ' ἐπεί κε λάβῃσι. . . . .

Φίλον γὰρ τῷ Ποιητῇ τὰς καταλλήλους ἑκάςῳ τῶν ζώων τροφὰς ἀπὸ τῶν εἰδῶν δηλοῦν.

( ὡς Ὀδ: Δ)

„ καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἱππείῃσι κάπῃσι,
„ πὰρ δ' ἔβαλον ζειάς, ἀνὰ δὲ κρῖ λευκὸν ἔμιξαν.

( καὶ Ὀδ: Ε)

„ σεύατ' ἔπειτ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικώς,
„ ὅς τε κατὰ δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο.
„ ἰχθῦς ἀγρώσσων, πυκινὰ πτερὰ δεύεται ἅλμῃ.

( καὶ Ὀδ: Ι)

„ ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεμνα ἄνθεα ποίης,

( καὶ Ὀδ: Κ)

„ ὣς οἱ μὲν κλαίοντες ἐέρχατο· τοῖσι δὲ Κίρκη
„ πὰρ ῥ' ἄκυλον, βάλανόν τ' ἔβαλε, καρπόν τε κρανείης
„ ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσι.

( καὶ Ὀδ: μ)

„ αὐτοῦ δ' ἰχθυάα σκόπελον περιμαιμώωσα
„ Δελφίνας τε, κύνας τε, καὶ εἴποθι μεῖζον ἕλῃσι
„ κῆτος· ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.

μάσταξ δὲ κυρίως τὸ στόμα.

(ὡς Ὀδ.: Δ')

„ Ἄντικλος δέ σε γ' οἶος ἀμείψασθαι ἐπέεσσιν
„ ἤθελεν, ἀλλ' Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε.

Ἔτι δὲ καὶ τὸ μάσσημα. Ὅτι δὲ, ἐὰν καὶ αὐτὸ τὸ ζωΰφιον καὶ παρὰ τοῖς ἀρχαίοις μάσταξ ἐλέγετο, (*) καθὰ δὴ παρ' ἡμῖν ἀκμὴν λέγεται, μὴ λογισθείη ὡς ἕντι τῶν παραδόξων, (πολλαὶ γὰρ τῶν λέξεων πολυσήμαντοί εἰσι, πρὸς δὲ, σώζονται παρ' ἡμῖν λέξεις ἀρχαῖαι, αἱ παρὰ τοῖς λογογράφοις μὴ οὖσαι ἐν χρήσει) οὐκ ἀπεστέρηται δὲ καὶ τῆς πιθανότητος, διὰ τὸ πάνυ βορῶδες εἶναι καὶ ἀδηφάγον, καὶ σχεδὸν, ὡς εἰπεῖν, ὅλον στόμα, ἅτε ἁπάσης αὐτοῦ τῆς δυνάμεως ἐν τῷ ὀστώδει αὐτοῦ στόματι συνισταμένης, τῷ καὶ τοσοῦτον στερεμνίῳ ὑπάρχοντι, ὥστ' ἐνίοτε τά τε σκληρὰ τῶν σπερμάτων, καὶ τὴν καλάμην αὐτῶν εὐκόλως μασσᾷν καὶ καταβιβρώσκειν.

---

(*) ἐν ἔτει τῷ: 1804: ἐντυχὼν τῷ Ἡσυχίου λεξικῷ, „ ἀνέγνων ὧδε "; Μάσταξ τὸ στόμα ἀπὸ τοῦ μασσᾶσθαι, ἢ „ τὸ μάσσημα, οἱ δὲ Ἀκρίδα, ἢ σιαγόνα" καὶ ἔγνων, ὅτι καλῶς παρ' ἡμῖν τὸ πηδητικὸν ζωΰφιον μάσταξ λέγεται.

Μαςάρια παρ' ἡμῖν λέγονται οἱ τῆς βοὸς μαςοί.

Μαυλῶ καὶ μαυλίζω ἐπὶ τῶν μαςρωπῶν καὶ νῦν λέγεται, τῶν τὲς ἀνθρώπες εἰς τὸ πορνεύειν προσκαλέντων. Χρώμεθα δὲ ἡμεῖς αὐτῷ μοταφορικῶς καὶ ἐπὶ τὲ, ὅταν τις λελυμένον ὄντα τὸν ἵππον, ἢ τὸν ἡμίονον, μὴ δυνάμενος πιάσαι, δεικνύων τι ἐδώδιμον, μαυλᾷ αὐτὸν, τέτέσι ποππυσμῷ τινι καλεῖ πρὸς ἑαυτόν. ὡς καὶ ἐν τῇ παροιμίᾳ ειρωνικῶς ἐπὶ ἀνοήτε.

„κόψε κλαρὶ, καὶ μαύλα τον.

Μαυλιςὴς παρ' Ἡσυχίῳ, ὁ μαςρωπὸς, ἐν τῇ λέξει προαγωγός. προαγωγεία ἡ μαςρωπευτικὴ τέχνη.

Μαῦρον, ἀμαυρὸν, σκοτεινὸν, μέλαν. Μαῦρος καὶ ὁ μωρὸς, ἢ δυςυχὴς, ἢ ἀτυχὴς. καὶ ἐν τῇ παροιμίᾳ.

„μαύρη τύχη 'πε ᾿χες ἄνδρα. ὅλοι πνίγηκαν, κ᾽ σ' ἦρθες:

καὶ παρ' Ἡσυχίῳ, μαῦρος, ἀμαυρὸς, ἀσθενὴς, μωρός.

Μέσα, ἀντὶ τὲ ἔνδον. τὴν εὐθεῖαν πληθυντικὴν τε, μέσον, ἐξέλαβεν ἡ συνήθεια ἐπιῤῥηματικῶς, ἀντὶ τὲ ἔσω, κατὰ τὴν τῆς φράσεως τὲ „μέσον ἔχω σε“ σημασίαν.

Μετωρίζομαι, ἀντὶ τὲ μετεωρίζομαι, ἀςειεύομαι.

Μὴ. χρῆται αὐτῷ καὶ ἡ συνήθεια. καὶ ἐν τῇ παροιμίᾳ.

„ςὲ κεφὲ τὴν πόρταν. θέλεις, βάρει, θέλεις, μή.

κατὰ τὸ παρ' Ἡροδότῳ. „ καὶ ὁ Βασιλεὺς μὲν ξέρξης „ διαβήσεταί σε, ἤν τε σύγε βόλει, ἤν τε μή." καὶ τὸ Κλεάνθες „ πρεσβύτῃ πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή.

Μίλω, γυναικεῖον παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς κύριον ὄνομα, καθὰ καὶ τὸ πάλαι ἐπὶ ἀνδρῶν, ὡς τὸ „ Μίλων ὁ Κροτωνιάτης.

† Μισεύω, ἀντὶ τοῦ, ἀπαίρω, κινῶ, ἀποδημῶ.

Μόδος, ἀντὶ τρόπου, ἀπὸ τοῦ Ἰταλικοῦ, modo· ἔσθ' ὅτε κατ' ἄγνοιαν ἡ συνήθεια ταυτολογοῦσα, ἀμφοτέροις χρῆται· οἷον, κάμε μόδο τρόπον, νὰ τὸν καταπείσῃς.

Μόχος, ὄνομα κύριον καὶ νῦν, ὡς πάλαι παρὰ Λαερτίῳ.
„ Κἀντεῦθεν πλεύσαντες εἰς Ἦλιν, Ἀρχιπύλῳ καὶ Μόσχῳ τοῖς ἀπὸ
„ Φαίδωνος παρέβαλον „ καὶ παρὰ τῇ βασιλίσσῃ Εὐδοκίᾳ.
„ Μόσχος Συρακούσιος γραμματικὸς, Ἀριστάρχου γνώριμος· οὗ-
„ τος ἐστὶν ὁ δεύτερος ποιητὴς μετὰ Θεόκριτον.

† Μουσκεύω, ἀντὶ τοῦ διάβροχον ποιῶ· καὶ ἐν τῇ παροιμίᾳ.
„ τόσο γρηὰ μὲ τὸ βρεμένο, σὰν καὶ μὲ τὸ μουσκεμμένον.
τοῦ δὲ Ἑλληνικοῦ, μοσχεύω, ἄλλη ἡ σημασία.

† { Μουτεύω, ἀντὶ τοῦ τίλλω.
Μουνοῦχος, ὁ εὐνοῦχος, καὶ ἐν τῇ παροιμίᾳ. „ ἐγὼ τοῦ
„ λέγω, εἶμαι μουνοῦχος, καὶ αὐτός μου λέγει, πόσα παι-
„ διά ἔχεις.

Μουγκρίζει, ὠνοματοπεποίηται ἀπὸ τῆς φωνῆς τῶν βοῶν ἀντὶ τοῦ ὡς παρὰ τοῖς ἀρχαίοις, μυκᾶται, ἢ μυκᾶται.

Μουρμουρίζει, ἀντὶ τοῦ, μορμύρει.

Μϐσάκι, μουσάκιον, ὑποκοριστικῶς ἀντὶ τϐ̃, μύσαξ. οἱ Ἰταλοὶ ἐκλατινίσαντες τὴν ἡμετέραν λέξιν, mystax ἔλεγον, καὶ νῦν mustacchi λέγουσι·

Μπάλλος, ἀντὶ βάλλος, παρὰ τὸ βαλλίζειν, τὸ ἐν ῥυθμῷ ἅλλεσθαι, πηδᾷν, χορεύειν πρὸς τὸν ἦχον τῶν κυμβάλων· ἅπερ αἱ ὀρχήστριαι ἔν τε τοῖς θεάτροις, καὶ τοῖς συμποσίοις τὸ πάλαι αὐταί γε ἅμα κτυπϐ̃σαι, πρὸς τὸν ἦχον αὐτῶν ἐχόρευον ἐν ῥυθμῷ. Τὸ Βαλλίζειν, τῶν μεταγενεστέρων Ἑλλήνων λέξις εἶναι δοκεῖ, τῶν ἐν Αἰγύπτῳ καὶ Φοινίκῃ οἰκησάντων· οἱ δὲ Ἰταλοὶ ἔπειτα ἐκλατινίσαντες τὴν φωνὴν, Ballo καὶ ballare λέγϐσι.

Μπήγω, χυδαϊκῇ ἀποβολῇ τοῦ ἀρχικοῦ ε ἀντὶ τοῦ ἐμπήγω, τὸ ἐμβάλλω, ἢ διελαύνω, καρφόω· ἐξ ϐ̔ τὸ ἐμπήγνυμι.

Μποκκασιὰ, ἡ εἰς τὸ στόμα ἔνθεσις· παρὰ τὸ Ἰταλιστὶ Bocca, τὸ στόμα, ἢ Boccata, ἡ ἔνθεσις· ἣν ἡμεῖς ἐκγραικίσαντες μποκκασιὰν λέγομεν.

Μπόττι, εἶδος ὑδρίας παρ' ἡμῖν τε, καὶ τοῖς ὁμόροις ἡμῶν, ἢ ληκύθου, μακρὸν ἐχούσης τὸν λαιμὸν, ἀντὶ τοῦ βούττιον, τὸ ὑκοριστικὸν τοῦ βούττις.

Μύλος, μύλος, ὁ καὶ μύλων· καὶ ἐν ταῖς παροιμίαις·

„ Πάγ' ἄνδρας μϐ στὸ μύλο γειτόνισα, νὰ πανδρευθῶ, ἢ νὰ καρ-
„ τερέσω.

„ ὁ μύλος μὲ μῆλα δὲν γίνεται.

Μυριολόγημα, μύριος ᾠδὴ ἐπὶ νεκροῖς, τουτέστι θρηνώδης· καὶ ῥῆμα μυριολογᾷ· διὸ αἱ ἐπὶ μισθῷ τοιαύ-

τας ᾠδὰς ἐπὶ τοῖς ἀποθανοῦσι θρηνολογοῦσαι μυριολογίστραι παρ' ἡμῖν λέγονται. ἡ χρῆσις αὕτη ἔχει τὴν ἀρχὴν ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων·

ὡς παρ' Ὁμήρῳ (Ἰλ: ώ)

„ . . . . . . . . . παρὰ δ' εἶσαν ἀοιδοὺς
„ θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν,
„ οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.

Μύττη, ἡ ῥίν, μετὰ τοῦ ῡ, παρὰ τὸ μύττεσθαι, ἀπομύττεσθαι, καθὰ καὶ μυκτὴρ, καὶ μύξα. μῆτις δὲ μετὰ τοῦ η̄ σημαντικὴ βουλῆς, τέχνης, συνέσεως.

(ὡς Ἰλ: ή:)

„ Ἕκτορ υἱὲ Πριάμοιο, Διῒ μῆτιν ἀτάλαντε.

Μῶκος, σημαίνει τὰ νῦν τὸ, μωρὸς.

Μώκορος παρ' ἡμῖν, ὁ νωθρὸς, παρὰ τὸ, μῶκος· ὁ γὰρ μωρὸς καὶ νωθρός ἐστι.

Μωρογαρίζει φαμὲν, ἀντὶ τοῦ βραδύνει, παρὰ τὸ μωρός· ὅτι παρὰ τοῖς πάλαι τὸ, μωρὸς, καὶ ἐπὶ νωθροῦ ἦν ἐκλαμβανόμενον, καὶ ἐπὶ ἀργοῦ.

## Προσθήκη.

Μακροσχοινίζω ῥῆμα παρ' ἡμῖν, (εἰ καὶ παρ' ἄλλοις ἐκ οἶδα) ἐπὶ ὑπερθέσεως, καὶ ἀναβολῆς λεγόμενον, ἐκ μεταφορᾶς τῶν μακρῶν σχοινισμάτων, τἐτέςι τῶν μετρικῶν σπαρτίων· καὶ τὰς ὑπερθέσεις, μακροσχοινίσματα καλἐμεν, οἷον „ὡς πότε αὐτὰ τὰ μακρο„σχοινίσματα; δόσε τέλος τῆς ὑποθέσεως· καὶ τό" μὴν τὰ μακροσχοινίζεις, τίποτες δὲν κερδίζεις.

Μαραγκιάζει, ἀντὶ τἐ μαραίνεται, ἐπὶ τῆς φθίσεως πόας τε καὶ ἀνθέων λέγεται, παρὰ τἐ μαραγμός.

Μάςορας, τεχνίτης, ἔμπειρος, μηχανικὸς, παρὰ τῆς γενικῆς τἐ μήςωρ, μήςορος, βαρβάρῳ τροπῇ τἐ η εἰς α, καὶ τἐ ος εἰς ας. ἐξ ἐ καὶ ἐπίῤῥημα, μαςορικὰ, τεχνιέντως.

Μεροκάματα, ἀντὶ ἡμεροκάματα, ἡμέρας κάματοι, τἐτέςιν αἱ καθημεριναὶ τῶν ἐργατῶν μισθώσεις.

Μετέπειτα ὁμηρικῶς καὶ νῦν φαμὲν, ἀντὶ τἐ ἁπλῶς, ἔπειτα.

(ὡς Ο'δ κ'.)

„μετέπειτα δὲ ἡδέϊ οἴνῳ.

Μέτωπα, πόλις Α'καρνανίας κατὰ Πολύβιον.

Μηδετίποτε, φαμὲν, καθὰ καὶ παρ' Η'συχίῳ, ἀντὶ τἐ, μηδοτιἐν.

Μεταπράτης, ὁ μεταπωλῶν. κατακεχώρισαι καὶ παρ'

Ἡσυχίῳ ἡ λέξις ὧδέπως „κάπηλος, μεταπράτης, ὁ τὰ πρὸς κάπην πιπράσκων, κάπη δὲ ἡ τροφή“ ὁ δὲ τὰ δημόσια πωλῶν πρατίας ἐλέγετο.

† Μουσκλόνω, σκυθρωπάζω, κατηφὴς γίνομαι.

Μπάλωμα, ἴσως ἀντὶ τῦ ἔμβλημα, παραφθορᾶ τῶν συλλαβῶν,

Μϑδιάζϑν τὰ δόντια, ἀντὶ τῦ μοδιάζϑσι, γομφιάζϑσι. μϑδιασμα, ἀντὶ μοδιασμὸς· ὅπερ ἡ ἐξήγησις κατακεχώρισαι ἐν τῷ. „γομφιασμὸν, συντριμμὸν, συνθλασμὸν „ ἢ μοδιασμὸν ὀδόντων“ παρ' Ἡσυχίῳ.

# N.

Ναὶ· δύο να παρὰ τῇ συνηθείᾳ· ἓν μὲν να τὸ ἐπίτριπτον, ἀντὶ τοῦ, ἵνα· δεύτερον δὲ να ἐπίῤῥημα δοτικόν.

ὡς καὶ ἐν ταῖς παροιμίαις.

„ νά, καὶ δός μου, χαραῖς μεγάλαις.
νά κυρά γειτόνισσα τὸ δικό μου τὄνομα.

Ναίσκε, ἀντὶ τοῦ ἁπλῶς ναὶ· ὁ προσχηματισμὸς οὗτος τοῦ, σκε, Ἰωνικῆς ἐστὶ χρήσεως λείψανον· θαμὰ τούτῳ ὁ ποιητὴς ἐχρήσατο, ἐπὶ τῶν ῥημάτων μέντοι, οἷον, ναιετάεσκε, φεύγεσκεν, ἀριστεύεσκεν, εἴπεσκε, καὶ ἄλλα.

Ναράϊδες, ἀντὶ νηρηΐδες, παρὰ τὸ νηρὸν, τὸ ὕδωρ, τουτέστιν αἱ ἐν τοῖς ὕδασι μυθολογούμεναι Νύμφαι. τρεῖς δὲ χιλιάδες Νηρηΐδων, θυγατέρων τοῦ Ὠκεανοῦ, πεντήκοντα δὲ τοῦ Νηρέως κατὰ τὴν μυθολογίαν.

„ Πεντήκοντα κόραι περὶ κύμασι βακχεύουσαι,
„ Τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περὶ νῶτα,
„ Θηροτύποις μορφαῖς· ὧν βόσκει σώμαθ' ὁ πόντος.

Ναῦλος, ναῦλος, τὸ ἐπὶ τῆς νεὼς μίσθωμα. καὶ Ξενοφῶν ἔφη, „καὶ ναῦλον συνθέσθαι, ὅπως ὠφελοῦντες „καὶ ὠφελῶνται" οἱ Ἰταλοὶ ἐκλατινίσαντες τὸ, ναῦλος, naulum καὶ αὐτοὶ ἔλεγον, νῦν δὲ nolo, φασὶ, καθὰς καὶ τὸ, ναῦς, nave καὶ ἔλεγον, καὶ ἀκμὴν λέγουσι.

Νερὸν, κατὰ συστολὴν, ἀντὶ τοῦ νηρὸν, τὸ ἀκραιφνὲς ὕδωρ. ἐξ οὗ καὶ τὸ τῆς συνηθείας νερλὸν, καὶ νερουλὸν, τὸ ὑδατῶδες.

Νίβω, ἀντὶ τοῦ νίζω, τὸ νίπτω, χυδαϊκῇ τροπῇ τοῦ ζ εἰς β. νίμματα δὲ καὶ ἀπονίμματα καλῶς λέγομεν, τὰ ἀποπλύματα. νίζω ὡς παρ' Ὁμ: (Ὀδ: Ζ)

„αὐτὰρ ὁ ἐκ ποταμοῖο χρόα νίζετο δῖος Ὀδυσσεὺς

ἀπονίζω . . . . , . (Ἰλ: κ')

„αὐτοί τε ἱδρῶ πολλὸν ἀπενίζοντο, θαλάσσῃ
„ἐμβάντες, κνήμας τε, ἰδὲ λόφον, ἀμφίτε μηρούς.

Νισεστὲς, ξένη ἡ λέξις καὶ βαρβαρικωτάτη· κακῇ δὲ τύχῃ εἰσέφρησεν εἰς τὴν τῆς συνηθείας χρῆσιν, ἀντὶ τοῦ ἡμετέρου, ἄμυλον, καθὰ οἱ ἀρχαῖοι ἔλεγον, ὑπὸ δὲ τῶν μεταγενεστέρων, καταστατὸν λεγομένου· ὅπερ ἐστὶ κατὰ τὸν Θεοκρίτου σχολιαστὴν „τὸ γαλακτῶδες τοῦ σίτου βεβρεγμένου, καὶ σεσημμένου, καὶ ἀποτιεσμένου, εἶτα τῷ ἡλίῳ ξηραινόμενον."

Α'μυλον ἐλέγετο παρὰ τοῖς ἀρχαίοις καθὸ ἄνευ μύλȣ γινόμενον. τὸ δὲ καταςατὸν, καίτοι πόθεν, ȣ̓ γνωςὸν, εἰκὸς ὅμως ἡμᾶς αὐτὸ ὡς μὴ ξενίζον ἀνακαλεσαμένȣς, παραινεῖν τοῖς νέοις, κἂν τȣ́τῳ χρῆσθαι, καὶ κατὰ μικρὸν ἀποσκορακίζειν τὴν Ταρταρικὴν λέξιν, νισεςὲς, ἀπὸ τῆς κοινῆς ἡμῶν φωνῆς.

Νομὴ, συνήθεια, θεσμὸς, παρὰ τὸ, νόμος, καὶ ἐν τῇ παροιμίᾳ.

„σὲ παλαιὸ κάςρο καινούργιαν νομὴν μὴν κάμῃς.“

Νόςιμον, νόςιμον, ἡδὺ, παρὰ τὸ νόςος, ἡ οἴκαδε ἐπάνοδος διὰ τὸ τῆς πατρίδος ἡδύ·

ὡς παρ' Ο'μήρῳ.

„. . . . . . . . αὐτὰρ ὃ τοῖσιν ἀφείλετο
„νόσιμον ἦμαρ. . . . . . . . . . . . .

Νοτίζει, παρὰ τὸ νοτὶς. νοτερὸς, νοτερός.

ὡς καὶ παρὰ τῇ ἀνθολογίᾳ

„ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν
„ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.

† { Νοπὸν, τὸ πρόσφατον, οἷον, νοπὸ ψωμὶ. νοπὸν καὶ τὸ νεαρὸν, οἷον νοπὸ αὐγὸ, νοπὸ γάλα.
Νȣνὸς, καὶ ὁ ἀνάδοχος, καὶ ὁ νυμφαγωγός. }

Νυφίτζα, ἡ γαλὶς καὶ γαλίσκη, τροπῇ βαρβάρῳ τοῦ σκη εἰς τζα, ἀντὶ τοῦ νυφίσκη, κατ᾽ εὐφημισμὸν, ὥς φησιν ὁ Κοραῆς, οὕτω κληθεῖσα ὑπὸ τῶν πρὸς τὰς δεισιδαιμονίας ἐπτοημένων.

# Ξ.

Ξάγι, ἀντὶ ἐξάγιον, μέτρον Ἀλεύρȣ τῷ μυλωθρῷ ἐκ τῶν ἀληθομένων σπερμάτων διδόμονον.

Ξαίνω, ξέα, ξύω. ξαίνω ἔρια, ξέω ξύλον, ξύω τὴν σάρκα. ξύσματα, ἀποξύσματα, ξύστρα. ὀδοντωτὴ ξύστρα παρὰ τῷ Λȣκιανȣ λεξιφάνει. ὁ ποιητὴς τὸ μὲν ξαίνω ἐρίων τάττει ἐργασίᾳ.

(ὡς Ὀδ: χ΄)

„Δμωαί, τὰς μὲν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
„Εἴριά τε ξαίνειν, καὶ δȣλοφροσύνης ἀνέχεσθαι.

τὰ δὲ ξύω, καὶ ξέω προϊὼν, ἀδιαφόρως ἐξέλαβε.

„λήστροισι δάπεδον πύκα ποιητοῖο δόμοιο.
„ξῦον. . . . . . . . . . . .

(καὶ Ὀδ: ψ.)

„κορμὸν δ' ἐκ ῥίζης προταμὼν, ἀμφέξεσα χαλκῷ.

Ξανὰ, χυδαϊκῆς χρήσεως δύστηνον μόριον. ὅπερ προτιθέμενον τῶν ῥημάτων, δευτέρας ὑπάρξεως, ἢ ἐνεργείας γίνεται δηλωτικὸν, ἀντὶ τῆς ἀνα προθέσεως, καὶ τȣ αὖθις. οἷον. Ξανάζησε, ξανακαινȣργόνω, ξαναβαπτίζω, ἀντὶ τȣ, ἀνέζησε, ἀνακαινȣργόω, ἀναβαπ-

τίζω. ξαναδαίρω, ξαναγράφω, ἀντὶ τȣ̃ ἐκ δευτέρȣ δαίρω, γράφω.

Ξανθὸς, ξανθὸς, ὁ πυῤῥὸς, ἐξ ȣ̃ Ξάνθος, Ξάνθη, κύρια καὶ νῦν ὀνόματα ὡς τὸ πάλαι. τὰ γὰρ ἐπίθετα εἰς κύρια μεταβαλλόμενα, ἀναβιβάζει τὸν τόνον, καθὰ καὶ χρηϛὸς, σιμὸς, λαμπρὸς, εἰς κύρια Χρῆϛος, Σίμος, Λάμπρος.

Ξάνθος ὁ Κρὴς ὁ τῆς ἐν Λυκίᾳ πόλεως Ξάνθης κτίϛης, ἥτις ἔπειτα καὶ Ξανθόπολις ἤκȣε. Ξάνθος καὶ ποταμȣ̃ ὄνομα, τȣ̃ τὴν ἐν Λυκίᾳ πόλιν Ξάνθην παραῤῥέοντος, οὗ καὶ Ὅμηρος ἐμνήσθη. (Ιλ: β′)

„ Σαρπηδὼν δ' ἦρχε Λυκίων, καὶ Γλαῦκος ἀμύμων
„ Τηλόθεν ἐκ Λυκίης, Ξάνθȣ ἄπο δινήεντος...

Ξάργȣ, ἐξεπίτηδες, ἢ ἐκ προμηθείας, ἀντὶ ἐξ ἔργȣ.

Ξαρνιȣ̃μαι, ἀντὶ ἐξαρνȣ̃μαι, παρὰ τὸ, ἔξαρνος.

Ξαφνίζομαι, ἀντὶ ἐκπλήττομαι, ἐκ μεταφορᾶς τȣ̃ ἐξαίφνης. ξαφνικὸν, ἀνέλπιϛον κακὸν, οἷον ξαφνικὸν νὰ τὤρθη.

Ξὲ, ἀντὶ τῆς ἐκ ἐξ προθέσεως· ποτὲ μὲν τȣ̃ ἔξω σημαντικὸν ἄλλοτε δ' ἄλλων· οἷον, ξετοπίζω, ξεράσματα, ἀντὶ ἐκτοπίζω, ἐξεράματα. ξεβράκωτος, ξεζωσμένος, ἀντὶ ἀβράκωτος, ἄζωϛος· ξεδικῶ, ξε-

διαλύω, ἀντὶ ἐκδικῶ, ἐκδιαλύω. ξετιμῶ, ξετίμησις, ἀντὶ ἐκτιμῶ, ἐκτίμησις· ξέδερμα, ξεμάθημα

ὡς ἐν ταῖς παροιμίαις.

„ ξένος πόνος ξέδερμα.

„ μάθημα ξεμάθημα, δυὸ καλὰ μαθήματα.

Ξεπροντίζει, ξεπροντίζονται, ἀντὶ ἐκπροντίζει, ἐκπροντίζονται, παρὰ τῆς ἐκ προθέσεως, καὶ τοῦ πράτα ἴσως, τὰ πρόβατα. ἐπὶ προβάτων γὰρ κυρίως ἡ λέξις αὕτη ἐν χρήσει παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς. ἐξεπρόντισε, φασὶ, τὰ πράτα λύκος ἢ ἄλλο τι φόβητρον. καὶ, ἐξεπροντίσθηκαν τὰ πράτα. μεταφερικῶς δὲ, ἐξεπρόντισεν ὁ δεῖνας τὰ παιδιά του, ἀντὶ μισῶν αὐτὰ, διεσκόρπισεν, ἐκβαλὼν τῆς οἰκίας. καὶ, ἐξεπρόντισε τὸ ἔχειν του, ἀντὶ τοῦ ἀσώτως διεσκόρπισε.

Ξεπέφτει ἀπὸ τὴν τιμήν του, ἀντὶ ἐκπίπτει τῆς τιμῆς· καὶ ἁπλῶς, ἐξέπεσεν ὁ δεῖνας, ἀντὶ τῆς προτοῦ ἐστέρηται καταστάσεως,

Ξενιτεύω, καὶ ξενιτεύομαι· ἀδιαφόρως ἀμφοτέροις χρώμεθα. οἷον ἀποφάσισα νὰ ξενιτεύσω, ἢ νὰ ξενιτευθῶ. ἐξ οὗ ξενιτεία, ἡ ἐπὶ ξένης ἀποδημία, καὶ ἡ ἐπὶ ξένης διαμονή. καὶ Πλούταρχος ἔφη. „ καὶ γὰρ „ ἄλλα μυρία τοῖς μεθισαμένοις ἐκ τῆς Ἑλλάδος συνεκπεσόντα, „ μέχρι νῦν παραμένει, καὶ ξενιτεύει παρ' ἑτέροις" καὶ παρὰ Σουΐδα. „ ξενιτεύω, ξενιτεία" καὶ παρὰ

Νικολάῳ τῷ Δαμασκηνῷ ,, ξένοις δ' ἐμβιῶν ἐκ ἔξεσιν ἐν ,, Σπάρτῃ, ἐδὲ Σπαρτιάταις ξενιτεύειν"

Ξεπροβοδῶ τὸν φίλον μου μέχρι τινὸς διαςήματος, ἢ καὶ μέχρι ςαθμοῦ, ἀντὶ τοῦ ἐκπροβαδῶ, παρὰ τὸ, βάδος, ἡ ὁδὸς, καὶ τὰς δύο ἐκ, καὶ προ προθέσεις, σημαινούσας τὸ ἔξω, καὶ τὸ ἔμπροσθεν.

Ξερὸν κατὰ συςολὴν, ἀντὶ τοῦ ξηρὸν ὡς παρ' Ὁμήρῳ.

,, ῥώχθει γὰρ μέγα κῦμα, ποτὶ ξερὸν Ἠπείροιο.

Ξεσαρκίζει, ἀντὶ ἐκσαρκίζει, ἐπὶ τῶν τὰ δέρματα μετὰ τὴν ἐργασίαν ξυόντων, φαμὲν κυρίως, τουτέςι τῶν τὰ ἐναπομείναντα τοῖς δέρμασι σαρκώδη λείψανα ἐκξυόντων.

Ξίδι, ξιδερὸς, ὁ ὄξις· ξινὸν ἀπὸ τοῦ, ὀξίνης.

Ξύγκι, τὸ ςέαρ, παρὰ τοῦ Λατινιςὶ ἀξύγκιον.

---

## Π ρ ο σ θ ή κ η.

Ξετραχηλίζεται, ἀντὶ ἐκτραχηλίζεται· κατὰ τὸν ἀόριςον δὲ, καλῶς λέγομεν, ἐξετραχηλίσθη.

Ξεφαντόνω, ἀντὶ τοῦ ἐκφαντόω, ἢ φησὶν ὁ Κοραῆς (σελ: 291) ἐν ταῖς εἰς Ἡλιόδωρον σημειώσεσι.

Ξεφυτεύω, ἀντὶ τοῦ ἐκφυτεύω, τουτέςι τὰ πεφυτευμένα ἐκβάλλω, πρὸς τὸ μεταφυτεῦσαι αὐτά. ἀορίςως ἐξεφύτευσα, φαμέν.

Ξενίζεται, ἐπὶ δυσαρεσκείας λέγομεν, ἀντὶ τȢ̃, ξενίζεται, δυσαρεστεῖται, ἀηδιάζει. (μετὰ τῆς ει διφθόγγȢ γραπτέον, κατὰ τὸ, ξεῖνος, ἀντὶ ξένος) οἷον, διατὶ ξενίζεσαι τόσον; σὰν δὲν σ' ἀρέσσει, στρῶσε χώρια. ϗ παροιμιακῶς „ὅποιος ξενίζεται, ἂς πίῃ ξίδι διὰ νὰ „τȢ̃ ἀπεράσῃ. Τὸ, ξενίζω, μεταβατικῶς πρὸς ἄλλοις σημαινομένοις καὶ ἀντὶ τȢ̃, ἐκπλήττω, ἐτύγχανεν ἐκλαμβανόμενον· ἡμεῖς δὲ χρώμεθα τῷ, ξενίζομαι, κατὰ μέσην διάθεσιν, ἀντὶ τȢ̃, δυσαρεστȢ̃μαι· καὶ ἡ τοιαύτη ἡμῶν χρῆσις Ȣ̓κ ἀπολείπεσθαι δοκεῖ Ἑλληνικῆς χάριτος,

Ξηλόνω, ἴσως ἀντὶ τȢ̃ ἐξηλόω, μεταφορικῶς, ἢ κρεῖττον εἰπεῖν πάντῃ καταχρηστικῶς ἐκληφθὲν ὑπὸ τῆς συνηθείας ἐπὶ τῆς τῶν ἤδη ἐῤῥαμμένων διαλύσεως. καὶ ἐν τῇ παροιμίᾳ.

„ῥάφτε ξήλωνε, δȢλειὰ νὰ μὴ σȢ̃ λείψῃ.

# Ο.

Ὄϊσκε, καὶ ὄχισκε, καλῶς δὲ παρά τισιν, οὔσκε. Ἰδοὺ καὶ ἐνταῦθα ὁ Ἰωνικὸς προσχηματισμὸς τοῦ σκε, καθὼς καὶ ἐν τῷ, ναίσκε. ἀντὶ τοῦ ἁπλῶς, ού.

Ὁλημερὶς, ὁλονυκτὶς, ἐπιῤῥήματα τῆς συνηθείας οὐκ ἄκομψα· ἀντὶ τοῦ, δι' ὅλης τῆς ἡμέρας, δι' ὅλης τῆς νυκτός.

Ὁλοίαθια, ἀντὶ τοῦ λοίσθια· ὡς παρὰ Θεοκρ: (εἰδυλ: ε)

,, . . . . . . . . . τύ δ' ὦ κακὲ καὶ τότ' ἔτακευ
,, βασκαίνων, καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.

Τὰ νῦν δὲ τὸ, λοίσθια, ἐπὶ τῶν τὰ ἔσχατα τῆς ζωῆς πνεόντων λέγεται μόνον· οἷον, ὁ δεῖνας εἶναι σὰ ὀλοίσθια, ἤγουν σὰ ἔσχατα.

Ὀγρὸν, ὀγρασία. ἀντὶ ὑγρὸν, ὑγρασία.

Ὁμάδαις, εἶδος παιδιᾶς παρ' ἡμῖν, ἴσως παρὰ τὸ, ὁμὰς, ὁμάδος, διὰ τὸ καθ' ὁμάδα παίζεσθαι, ἤτοι ὁμοῦ.

Ὄμπυο, τὸ γαλακτῶδες ὑγρὸν, τὸ ἐκ τῶν πληγῶν ἐκρεόμενον: ἀντὶ τοῦ ἔμπυον.

Ὀνομάτοι, λέξις τοῦ παρηκμακότος Ἑλληνισμοῦ, σημαντικὴ ἀριθμοῦ ἀνθρώπων ἀορίστου, παρὰ τὸ ὀνομαίνειν· οἷον, πέντε δέκ' ὀνομάτοι. καὶ, μὲ πόσους ἦλθε;

μ' ἑκατ' ὀνομάτες. Παρ' ἄλλοις λέγεται καὶ ἑνικῶς, ὀνομάτος· παρ' ἡμῖν δὲ πληθυντικῶς μόνον, ὡς καὶ παρὰ τῷ ἀποςόλῳ Λεκᾷ ἐν ταῖς πράξεσιν — „ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσι.„

Ὁπῶχει, κατὰ συναλοιφὴν καὶ κρᾶσιν, ἀντὶ τοῦ, ὅπου ἔχει. ἡ τοιαύτη τῆς συνηθείας χρῆσις γειτνιάζει πως ταῖς τῶν ἀρχαίων, κατὰ μίμησιν, καί τοι ἀκανόνιςος τυγχάνεσα, οἷαι καὶ παρὰ Θεοκρίτῳ. „ὡπόλος, κἠμὲ, κἦφα, ἀντὶ ὁ αἰπόλος, καὶ ἐμὲ, καὶ εἶπα. „ὡξ Αἴτνας, ἀντὶ ὁ ἐξ Αἴτνας.

„ὡξ Αἴτνας, καὶ Θύρσιδος ἅδ' ἁ φωνά.

ὁπῶχει, καὶ ἐν παροιμίαις·

„ὁπῶχει ὀκνὸν, ἔχει προφήτην·
„ὁπῶχει ξένον, ἔχει ἀφέντην.
„ὁπῶχει ξένο ἄλογο, μισοδρομὶς πεζεύει.

Ὁμπλὴ, ἀντὶ τοῦ ὁπλή. καὶ ἐν τῇ παροιμίᾳ.

„τὸν λύκον γλέπομεν, καὶ τὴν ὁμπλὴν γυρεύομεν.

Ὁμπρῶς, ἀντὶ ἔμπροσθεν, ὅσ' ὀμπρῶς, ἀνάποδα.

Ὀρθοποδιάζω, καὶ ὀρθοποδίζω, μεταβαίνω εἰς τὴν ὀρθὴν ὁδὸν· παρὰ τὸ ὀρθὸν, καὶ τὸ ποδιάζω, ὑποςρέφω.

Ὀργόνω, ἀροτριῶ, παρενθέσει τε ν. ἀντὶ τοῦ ὀργόα, τουτέςι τὴν ὀργάδα εἰς ὑποδοχὴν σπερμάτων κατεργάζομαι.

Ο῎ρος, νόμος, θεσμὸς, καὶ νῦν ἐπὶ τῆς αὐτῆς σημασίας λέγεται, οἷον „ ἐβάλαμεν ὅρον καὶ πρέπει νὰ τὸν φυλάξωμεν.

Ο᾽φαλὸν κακῶς φαμὲν καὶ τὸν Ο᾽μφαλὸν, ἢ τὸν Φελλόν· ἀποπεμπτέα οὖν ἡ τοιαύτη κατάχρησις.

Ο᾽ψίκιον, καὶ χυδαϊκῶς ψίκι λέγεται παρ᾽ ἡμῖν, ἡ τῆς νύμφης ἐν νυκτὶ πρὸς τὴν τοῦ νυμφίου οἰκίαν προπομπὴ, παρὰ τὸ ὀψὲ γίνεσθαι.

---

## Προσθήκη.

Ο῾λάκερος, ἀντὶ τοῦ, ὁλακέραιος, σύνθετον παρὰ τοῦ ὅλος, καὶ τοῦ ἀκέραιος· ἀποβολῇ δὲ τῆς αι διφθόγγου ἀπὸ τῆς ραι συλλαβῆς βαρβαροπαρασχηματισθὲν εἰς τὸ, ὁλάκερος, ἀντὶ καταπάντα σῶος, ὁλόκληρος· ἐξ οὗ καὶ ἐπίῤῥημα, ὁλάκερα, κατὰ πάντα ἀκεραίως.

Ο᾽λίγον ἔλειψε νὰ πέσῃ· παράφρασις τοῦ, ὀλίγου ἐδέησε πεσεῖν. Τὸ δέω, καὶ ἀντὶ τοῦ ἐλλείπομαι, καὶ ἀντὶ τοῦ δεσμῶ, καὶ ἀντὶ τοῦ χρήζω, ἢ ἀντὶ τοῦ πρέπον μοι ἐστὶν, ἐτύγχανεν ἐκλαμβανόμενον· ἀντὶ τοῦ ἐλλείπομαι ὡς παρὰ Ξενοφῶντι. „ ἀλλὰ πολλοῦ μοι δοκῶ δεῖν τὰ ἡμέτερα ἔχειν „ καὶ παρὰ Λουκιανῷ· „ μικροῦ δέω λίθος ἐξ ἀνθρώπων σοι γεγονέναι.

Δεῖ ἀπροσώπως, χρὴ, ἀναγκαῖον, πρέπον ἢ προσῆκον. δεῖν, ἀντί τοῦ χρήζειν ὡς τὸ „ εἰ καὶ ἔχει δεῖν νομίζεις,, Ὀλίγου δεῖν ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ παρ' ὀλίγον· ὡς παρὰ τῷ αὐτῷ Λουκιανῷ· „ καὶ ἱερείοις „ ὀλίγου δεῖν τότε γενομένοις ἱερεῖα νῦν προσάγεται.,, Δεῖν Ἀττικῶς ἀντὶ τοῦ δέον κατὰ κρᾶσιν, καθὰ καὶ δοκεῖν, ἀντὶ τοῦ δοκοῦν.

Ὀνειρεύεται, οὐκ ἀκόμψως ἐσχημάτισται ὑπὸ τῆς συνηθείας παρὰ τὸ, ὄνειρον, ἀντὶ τοῦ ὀνειροπολεῖ, ἐν ὕπνῳ μαντεύεται, ἢ φαντάζεται,

καὶ ἐν τῇ παροιμίᾳ.

„ ὁ πεινασμένος καρβέλια ὀνειρεύεται.

κατὰ τὸ παρὰ Θεοκρίτῳ (εἰδ: κέ)

„ πᾶσα κύων ἄρτος μαντεύεται, ἰχθύα κἠγών.

Ὁσάκις. πολλοὶ τῶν ἡμετέρων ὁμογενῶν ἀγαθῇ τύχῃ σώζουσι τὸ ἐπίῤῥημα τοῦτο· ἡμῖν δὲ ἐξ ἀτυχίας ἐπιχωριάζει ἡ ἐξήγησις αὐτοῦ, ἤγουν τὸ, ὅσαις φοραῖς· μιμησώμεθα οὖν αὐτοὺς καὶ ἡμεῖς οἱ ὑπόλοιποι. πρὸς δὲ, ἔστω εἰς χρῆσιν καὶ τὸ, τοσάκις, ἀντὶ τοῦ τόσαις φοραῖς.

Οὔβια, οὔβιαι παρ' ἡμῖν λέγονται τὰ ἄκρα τῶν ἱματίων. ἔτι δὲ καὶ τὰ ἄκρα τῶν λεγομένων ῥούχων· παρ' ἄλλοις δὲ, Οὐΐα καὶ Οὔγια, παρὰ τὸ, ὦα, ἣ φησὶν ὁ Κοραῆς, σημ: εἰς Ἡλιόδωρον (σελ: 117)

ἰδοὺ ταυτολεξεὶ τὰ ἐκεῖσε αὐτῷ εἰρημένα „ ἐντεῦθεν
„ ἡ συνήθεια παραφθείρασα τὸ, ὤα, ἐχημάτησε τὸ, οὔϊα,
„ καὶ χυδαιοτέρως οὔγια . . . . . . . . . . ἄλλως δὲ, ἐλέ-
„ γετο ἡ ὤα καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἄκρων τοῦ ἱματίȣ,
„ οὐ μόνον τῶν κάτω.

† Ὁ βορὸς παρ᾽ ἡμῖν ἀντὶ τοῦ αὐλή.

# Π.

Πᾶ, καὶ νῦν ἔτι τινὲς τῶν παρ' ἡμῖν χωρικῶν δωρικῶς πᾶ, λέγουσιν, ἀντὶ τοῦ ποῦ κοινῶς.

Παγανὸν, τὸ νήπιον, παρὰ τοῦ παγανὸς, ὁ ἄφρων, ὁ μωρός· οὕτω παρ' ἡμῖν τοῖς Ἠπειρώταις καλεῖται τὰ νεογνὰ (οὐκ οἶδα, εἰ καὶ παρ' ἄλλοις) καθὰ τὸ νεογνὸν ἢ παγανὸ παιδὶ, καὶ μωρὸ παιδὶ ὀνομάζομεν. ἀλλά γε καὶ τὸ νήπιον ταυτοσήμαντον τοῖς, παγανὸν, καὶ μωρόν. ὁ δὲ ποιητὴς καὶ ἀταλάφρονα τὸ νήπιον ἐκάλεσεν. (Ιλ. Ζ)

„ παῖδ' ἐπὶ κόλπον ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως.

Παθαίνει, παρὰ τὸ παθαίνεσθαι, τὸ δεινοπαθεῖν.

Παλαβὸς, φρενοβλαβὴς, ἢ μωρὸς, παρενθέσει τοῦ β ἴσως διὰ τὴν εὐφωνίαν, ἀντὶ τοῦ παλαιὸς Αἰολικῶς, τοῦ κοινῶς παλαιὸς, ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος, ἤδη ἄφρων, ὁ καὶ ἠλίθιος κατὰ Ἡσύχιον. Αὕτη ἡ τοῦ β ἐν τῷ, παλαβὸς, παρένθεσις μὴ λογιζέσθω χυδαϊσμὸς· ἔλεγον γὰρ ἢ Συρακούσιοι ἔβασον, ἀντὶ ἔασον.

Παλεύω, κακῶς φαμὲν, ἀντι τοῦ παλαίω, κατ' ἄγνοιαν ἐξαπατηθέντες ὑπὸ τῆς προσομοιώσεως τῶν ευω καὶ αιω φωνῶν· τὸ γὰρ, παλεύω, σημαντικὸν τȣ̃ ἐξαπατᾷν, ἀγρεύειν.

Πάλε, φαμὲν, ἀντὶ τοῦ Αἰωλικῶς πάλι, τοῦ κοινᾶς πάλιν, κατὰ τὸ „ πάλι δεύτερα λέκτρα διώκει·

Παλληκάριον ὑποκοριστικῶς τῷ σχήματι, ἀντὶ τȣ̃ πρωτοτύπου, πάλληξ, βούπαις· καταχρηστικῶς δὲ καὶ τὸν ἀνδρεῖον, καὶ τὸν στρατιώτην, παλληκάριον λέγομεν.

Πάλος· τὸ, πάλος, ἀντὶ τοῦ σκόλοψ ἐκλαμβανόμενον, Λατινικόν ἐστιν· ἐξελληνισθὲν δὲ ὑπὸ τῶν μεταγενεστέρων Ἑλλήνων, καθὰ καὶ Ζωσιμᾶς ὁ κόμης αὐτῷ οὕτως ἐχρήσατο „ ἐπεγαιώθη δὲ καὶ τῆς περὶ αὐτὴν θα„ λάσσης οὐκ ὀλίγον, πάλων κύκλω παγέντων:

Τὸ γὰρ Ἑλληνιστὶ, Πάλος, σημαντικὸν κλήρȣ, ἀπὸ τȣ̃ πάλλω, παλῶ, ἔπηλα, ὡς παρ' Ὁμήρῳ.

(Ἰλ. γ')

„ κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες·

Ἡ συνήθεια ἐκ τοῦ Λατινικȣ̃, πάλος, ὑποκορίσασα τὸ, παλούκιον, ὀρθὸν καὶ ὀξὺ ξύλον, ἐσχημάτισεν ἐξ αὐτȣ̃ καὶ τὰ, παλουκόνω, παλούκωμα, ἀντὶ τȣ̃ ἀνασκολοπίζω, σκόλοψις. Τὴν τοῦ ἀνασκολοπίζω, ἰδιωτικῶς παλουκόνω σημασίαν, οὐδέπως Ἡσύχιος ἐξη-

γήσατο ,, τὸ γὰρ παλαιὸν τὲς κακουργῦντας ἀνεσκολόπιζον, ,, ὀξύνοντες ξύλον διὰ ῥαχέως καὶ νώτε, καθάπερ τὲς ὀπτωμένες ,, ἰχθῦς ἐπὶ ὀβελίσκων.,,

Ἀπεοικότως ἄν τις κατ᾽ ἄγνοιαν ὑπολάβοι τὸ, Πάλος, παράγωγον τοῦ πάσσαλος. ὁ πάσσαλος γὰρ ξυλίνη ἐςὶ περόνη, ἤ καρφίον. ὡς παρ᾽ Ὁμ: (Ὀδ: θ΄.)

,, κὰδδ᾽ ἐκ πασσαλόφιν κρέμασε φόρμιγγα λιγεῖαν

(καὶ Ὀδ: κ΄.)

,, πασσάλῳ ἐγκρεμάσασα παρὰ ξεστοῖσι λέχεσσι.

καὶ παρὰ Θεοκρίτῳ (εἰδ: λα)

,, . . . . . . . . . . ὀρρ᾽ οἱ ὕπερθεν

,, Κλιντῆρος κεδρίνω περὶ πασσάλῳ αἰὲν ἄωρτο.

Πᾶν, ἀντὶ τοῦ ὑπάγεσι, κατὰ μίμησιν ἀρχαίας χρήσεως, τῶ ςὰν, φθὰν, φὰν, καὶ ἄλλων. καὶ ἐν τῇ παροιμίᾳ.

,, τὸν λύκον τὸν ἐκούρευαν, καὶ αὐτὸς ἔλεγε, πᾶν τὰ πρόβατα.

Πανὶ, πανίον καὶ νῦν φαμὲν, πᾶν λευκὸν καὶ αὐτόχρεν ὕφασμα, ἀντὶ τῶ, προπαροξυτόνως, ὡς παρ᾽ Ἡσυχίῳ, πάνιον· ὁ τόνος ἐνταῦθα οὐ βλάπτει τὴν σημασίαν· ἀμφότερα γὰρ τό,τε πάνιον, καὶ τὸ πανίον τῆς αὐτῆς ἐςι σημασίας τῶ λευκοῦ ὑφάσματος· εἴρηται δὲ ἀπὸ τῶ Πανὸς, ὃς ὑφαντικῆς ἐμυθολογεῖτο ἐφευρετὴς· Εὕρηται δὲ παρὰ Θεοκρίτῳ καὶ ῥῆμα

παιίζομαι ( εἰδ: ιζ΄ )

,, οὔτέ τις ἐν ταλάρῳ πανίσδεται ἔργα τοιαῦτα
,, οὔτ' ἐνὶ δαιδαλέῳ πυκινώτερον ἤτριον ἱςῷ.

Πάντα φαμὲν, ἀντὶ τοῦ πάντοτε, ὡς καὶ ἐν τῇ προῤῥηθείσῃ παροιμίᾳ — ,, πάντα νά 'ν' ὁ μάσουρᾶς μου. — ,, καὶ Λουκιανὸς ἔφη, πάντα καταπίπτοντα, ἀντὶ πάντοτε.

Παντοῦ, ἀντὶ τοῦ, παντῆ δωρικῶς, καὶ παντᾷ παρὰ Θεοκρίτῳ.

( εἰδυλλ: ιε΄ )

,, παντᾷ κρηπῖδες, παντᾷ χλαμιδοφόροι ἄνδρες.

Πάπλωμα, παπλώματα παρ' ἡμῖν τε, καὶ πολλοῖς ἄλλοις, καλῶς δὲ παρά τισι πέπλωμα, πεπλώματα, τὰ ἐπιδέμνια καλύμματα, τὰ ἀφαπλώματα παρὰ τοῦ, Πέπλον, τὸ καὶ παρὰ τῷ ποιητῇ καὶ ἐπὶ ἱματισμοῦ, καὶ ἐπὶ ἐφαπλώματος ἐξειλημμένον.

Ἐπὶ μὲν ἱματισμοῦ ( Ιλ. ε΄ )

,, πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει.

Ἐπὶ ἐφαπλώματος δὲ ( Ἰλ ή ).

,, . . . . ἔνθα δίφροι
,, καλοὶ πρωτοπαγεῖς, νεοτευχέες, ἀμφὶ δὲ πέπλοι
,, πέπτανται.

( καὶ Ἰλ: ώ. )

,, Καὶ τάγε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες
,, πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσι.

καὶ Ὀδ: ή)

„ Ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα, καὶ ἔνθα
„ ἐς μυχὸν, ἐξ ὐδοῖο διαμπερὲς, ἔνθ' ἔνι πέπλοι
„ λεπτοὶ, ἔυνητοι βεβλήατο, ἔργα γυναικῶν.

Καθὰ καὶ αἱ χλαῖναι ὁμοίως ἐπ' ἀμφοτέρων παρὰ τῷ αὐτῷ ποιητῇ ἔυρηνται λεγόμεναι, ἐπὶ ἱματισμȣ̃ μὲν ὡς,

(Ὀδ: ξ.)

„ ἀμφὶ δέ με χλαῖναν τε, χιτῶνα τε, ἕματα ἕσσεν.

Ἐπὶ ἐφαπλώματος δὲ,

(Ὀδ: ή)

„ Κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισι,
„ δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
„ πορφύρε' ἐμβαλέειν, σορέσαι δ' ἐφύπερθε τάπητας,
„ χλαίνας τ' ἐνθέμεναι οὔλας, καθ' ὕπερθεν ἕσαθαι.

Παπᾶς παρὰ τοῖς ὀρθοδόξοις, ὁ ἱερεὺς, τουτέςι πνευματικὸς πατὴρ, παρὰ τὸ, πάππα τῶν ἀρχαίων· ὅπερ προσφώνησις ἦν τέκνȣ *) πρὸς πατέρα, ἀπὸ τῶν ψελλιζόντων τὴν ἀρχὴν εἰληφὸς, ἃ τοῖς πατράσι λέγει πάππα, ᾗ φησιν Ἡσύχιος.

(* Ὀδ: Ζ')

„ ἡ δὲ μάλ' ἄγχι ςᾶσα, φίλον πατέρα προσέειπε,
„ πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην.

Πάππυ δ' ἡ συνήθεια καλεῖ τὸν πατρός τε καὶ μητρὸς πατέρα, ἀντὶ πάππον ὡς παρ' Ἡσυχίῳ. πάππα δ' ἔτι λέγεται ὑπὸ τῶν ψελλιζόντων ὁ ἄρτος. παππάρα δὲ παρ' ἡμῖν ὁ ζωμὸς μετὰ ψωμοῦ.

Παρὰ ἡ πρόθεσις καὶ παρὰ τῇ συνηθείᾳ πολυσήμαντος· πλείονος χέσεως, οἷον, παρακόφτω, παραχώνω, παρακινῶ, παραμέσα. πλησιότητος, παρακόρη, παράθυρον· τῦ ἔξω, παράκαιρα, παράστρατα, καὶ ἄλλα.

Παρὰ, παρὰ, παρὸ, ἀντὶ τοῦ ἐκτὸς, πάρεξ, ἀλλ' ἤ, ἤπερ. οἷον „μὴν τὸ δώσῃς ἄλλυ τινὸς, παρὰ ἐμένα„ ἀντὶ τοῦ, ἀλλ' ἢ ἐμοὶ — „ αὐτὸς ἠξεύρει καλήτερα, παρὰ ἐγὼ„ κατὰ τὸ παρὰ Παύλῳ τῷ ἀποστόλῳ ἐν τῇ πρὸς Ἑβραίυς — „ πίστει πλείονα θυσίαν Ἄβελ, παρὰ Κάϊν, προσήνεγκε τῷ Θεῷ„. καὶ παρὰ τῷ Θεοκρίτυ χολιαστῇ — „ οὐδεμία θεραπεία ἄλλη ἐστὶ πρὸς τὸν Ἔρωτα, „ παρὸ αἱ Μοῦσαι„ οὕτως αὐτὸς ἐξηγεῖται τὴν ἀρχὴν τῦ

( εἰδ' ιά )

„ οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
„ Νικία, οὔτ' ἔγχριστον ἐμοὶ δοκεῖ, οὐδὲ ἐπίπλαστον
„ ἢ ταὶ Πιερίδες . . . . . . . . .

Παρέξω, ἀπὸ τοῦ παρ' Ὁμήρῳ „ ὅσα παρέξ "

Παραδαίρεται, ἐπὶ τῶν ἀσθειῶν, τῶν σπασμοῖς ἀγωνιώντων λέγεται κατὰ μέσην διάθεσιν.

Παραμερῶ, ἀντὶ τῦ παραλλάττω, ἐκτρέπομαι τῆς ὁδῦ, ταυτοσήμαντον τῷ, παραμεύω.

Παραμονεύω, οὐκ ἄχαρι τοῦτο τὸ τῆς συνηθείας ῥῆμα, παρὰ τοῦ, μονὴ, καὶ τῆς παρα προθέσεως χηματιθὲν· ἀντὶ τοῦ, ὡς εἰπεῖν ἄλλως, παραφυλάττω ἐγκρυπτόμενος, ἢ μονωτὶ καθήμενος παρατηρῶ, ἢ ἐνεδρεύω.

Παρασούσημη, αἰχημοτάτη, ἀντὶ τοῦ παράσημος ἐκ μεταφορᾶς τῆς τῶν παρασήμων νομισμάτων φαυλότητος. Παράσημος κατὰ Σουΐδαν, ὁ κίβδηλος, καὶ ἀδόκιμος. Ἀριστοφάνης δ' ἔφη.

„ Ἀλλ' ἀνδράρια, μοχθηρὰ, παρακεκομμένα,
„ ἄτιμα, καὶ παράσημα, καὶ παράξενα·

Διατὶ δὲ οἱ μεταγενέστεροι Ἑλληνισταὶ ἐχρήσαντο τῷ, παράσημα, ἐπὶ σημασίας τῶν τῆς τιμῆς καὶ ἀξιότητος συμβόλων, ὡς καὶ παρὰ Πλουτάρχῳ εὕρηται, καθὰ νῦν ἔτι καὶ ἡμεῖς ἐπὶ τῆς αὐτῆς σημασίας αὐτῷ χρώμεθα, ἔγωγε συμβαλεῖν οὐκ ἔχω.

Εὕρηται δὲ παρὰ Λουκᾷ τῷ Ἀποστόλῳ τὸ, παράσημον, ἐν ταῖς πράξεσιν ἐπὶ ἐπωνυμίαις πλοίων, ὧδέπως. „ Μετὰ δὲ τρεῖς ἡμέρας ἀνήχθημεν ἐν πλοίῳ, παρακεχειμακότι ἐν τῇ νήσῳ ἀλεξανδρινῷ, παρασήμῳ Διοσκούροις.„

Πάστρα παρ' ἡμῖν, ἡ φιλοκαλία, παρ' ἄλλοις δὲ σπάστρα. καὶ Ἡσύχιος ὁμοίως ἔφη φιλοκαλία φωνοῦσα τὰ σπάστρα· καὶ ἐν τῇ παρ:

„ παστρικὴ καλὴ Θοδώρα, τὸ τζαρούχι σοῦ τζουκάλι;

Πασὸς. διάφορος αὐτοῦ ἡ σημασία τὸ πάλαι, παρὰ τὸ πάσσασθαι. πασὸς δὲ τὰ νῦν, τὸ ἁλατισμένον χοίρειον σέαρ. πασωμένο κρέας· πασρουμᾶς. καὶ πασὲς πᾶν σέαρ, ὡς ἐν τῇ παροιμίᾳ.

„ τρέχα λίγδα σὸν πασόν.

Παχίζω, φροντίζω, ἐπιμελοῦμαι, παρὰ τὸ πάχειν· ὅπερ καὶ τὸ πάλαι πρὸς ἄλλοις σημαινομένοις, καὶ ἐπὶ ἐνεργείας, ἢ ἐπιμελείας ἐτύγχανεν ἐκλαμβανόμενον, ὡς καὶ ἐν τῇ παρ:

„ ὅποιος πάχει νὰ χάψῃ πολλά, χάφτει μυῖγαις.

Πατοῦνα, πάτωμα, παρὰ τὸ πατεῖσθαι.

Πάτος· πάτος τὰ νῦν ἀντὶ τοῦ, πυθμὴν, οἷον, ὁ πάτος τῆς θαλάσσης, ὁ πάτος τοῦ πίθου. πάτος καὶ ὁ πρωκτὸς λέγεται· πάτος δὲ παρ' Ὁμήρῳ (Ὀδ' ι) ἡ ὁδὸς.

„ . . . . . . οὐ μὲν γάρ πάτος ἀνθρώπων ἀπερύκει.

Πατῶ, πατῶ. τὰ νῦν δὲ ἐκλαμβάνεται καὶ ἀντὶ τοῦ, ἐξιλατῶ, ὡς τὸ, ἐπάτησαν οἱ ἀρβανῖται τὸν Μωρέαν. χρῆται δ' ἔτι ἡ συνήθεια τῷ, πατῶ, Ὁμηρικῶς καὶ ἐπὶ ἐπιορκίας, οἷον, δὲν πατῶ ἐγὼ τὸν ὅρκον μου, τουτέστιν οὐκ ἐπιορκῶ κατὰ τὸ, (Ἰλ. δ')

„ κατὰ δ' ὅρκια πιςὰ πάτησαν." ταύτην τὴν φράσιν ὁ ποιητὴς προϊὼν διὰ τοῦ δηλήσαντο ἡρμήνευσε (ϛιχ: 236) . . . . „ ὑπὲρ δ' ὅρκια δηλήσαντο.

Πεῖσμα, ἀντὶ τοῦ πεισμονὴ, ἰσχυρογνωμία. καὶ πεισματάρης ὁ πεισματικὸς, ἰσχυρογνώμων, διὸ καὶ ςαθερὸς κατὰ τοῦτο καὶ ἀσάλευτος· ἴσως παρὰ τὸ πείσεσθαι, τὸ ἑδραίως μένειν καθὰ καὶ τὸ πεῖσμα, τὸ ἀγγύρειον σχοινίον.

Περιγέλι παρ' ἄλλοις, βαρβαρικωτέρως δὲ παρ' ἡμῖν πριγέλι, ὁ διαβίτης, ἀντὶ τοῦ περιέλιον, ἀπὸ τοῦ περιελᾷν τὸν κύκλον, τὸ περιελαύνειν.

Περνάω, κακῶς φαμὲν, καὶ περνῶ, ἀλόγῳ παρενθέσει τοῦ ν ἀντὶ τοῦ περάω, περῶ. ὅτι τὸ περνῶ σημαντικὸν ἐμπωλήσεως, πράσεως, καθά φησιν Ἡσύχιος. καὶ περνᾶται, πωλεῖται· περνάμενα, πωλούμενα. περνᾷς, πωλεῖς.

Πέρνω, ἀντὶ τοῦ λαμβάνω. χρώμεθα δ' αὐτῷ καὶ ἐπ' ἄλλων σημαινομένων. Τοῦτο τὸ βαρβαρόμορφον τῆς συνηθείας ῥῆμα ἅπαντες σχεδὸν οὕτω γράφομεν, διφθογγογραπτέον δ' ἴσως παίρνω, παρὰ τὸ ἐπαίρω, χυδαϊκῇ ἀποβολῇ τοῦ ἀρχικοῦ ε, καὶ παρενθέσει τοῦ ν. ἀλλα ἦν τοῦ, ἐπαίρω, τὸ πάλαι τὰ σημαινόμενα, οἷον τοῦ, ὑψῶ, κουφίζω, ἀναλαμβάνω, ἀνατίθεμαι, παρακινῶ, καὶ διεγείρω· ἡ δὲ ἐπικρατήσασα συνήθεια καταχρησαμένη, ἐξέλαβεν αὐτὸ, ἀντὶ τοῦ λαμβάνω, ἢ δέχομαι, ἢ ἀφαιροῦμαι, ἢ

προσλαμβάνω, καὶ ἀναλαμβάνω, ἔτι δὲ καὶ τοῦ κτῶμαι, ἢ ἀγοράζω. Πιςοῦνται ταύτην μου τὴν εἰκασίαν ὅ, τε ἀόριςος ἐπῆρα, τὸ, τε προςακτικὸν, ἔπαρε, καὶ τὸ ὡς ἐυκτικὸν, νὰ πάρω, καὶ ὁ μετοχικὸς παρακείμενος, ἐπαρμένος καὶ παρμένος, ἀντὶ ἐπηρμένος· οἷς κατακόρως χρώμεθα· λέγομεν γὰρ, παίρνω παράδειγμα, καὶ ἐπῆρα παράδειγμα· παίρω, ἐπῆρα, ἔπαρε, καὶ νὰ πάρης αἷμα· παίρνω ἐπάνω μου, ἀντὶ τοῦ δέχομαι, ἢ ἐγγυοῦμαι· ἐπῆρεν ἐπάνω του, ἀντὶ ἀνέλαβεν ἐκ τῆς νόσου· ἔπαρε τὰ μέτρα σου, διὰ νὰ μὴν σὲ γελάσουν. παίρνω καὶ ἐπῆρα κρέας, χόρτα, ξύλα, ἀντὶ ἀγοράζω, καὶ ἠγόρασα· παίρνω καὶ ἐπῆρα χωριὸ, ἢ σπήτι, ἀντὶ τοῦ ἠγόρασα, ἢ ἐκτησάμην· αὐτὰ τὰ λόγια δὲν εἶναι τοῦ κεφαλιοῦ σου, ἀλλὰ ἐπαρμένα ἀπὸ τὸν (δεῖνα) ἀντὶ ἐξειλημμένα. παρμένος σκλάβος, ἀντὶ αἰχμάλωτος ληφθείς. παρμένος καὶ χέρρια καὶ ποδάρια, ἀντὶ ἀφηρημένος ὑπὸ παραλυσίας· νὰ παρθῆς ἀπὸ χερροπόδαρα· δοσμένα καὶ ἄπαρτα.

Περιγιάλι, παραφθορὰ τοῦ, αἰγιαλὸς, ἀφαιρέσει τῆς ἀρχικῆς αι διφθόγγου, καὶ προσθέσει τῆς περὶ προθέσεως, ἀντὶ περιαιγιάλιον.

Περιδιάβασις, περιήγησις, ἀπὸ τῆς, περὶ προθέσεως. τὸ κύκλω σημαινούσης, καὶ τοῦ διάβασις, ἢ πορεία.

Περίδρομος ἐπὶ ἀρᾶ λέγεται, οἷον, περίδρομος νὰ τȣ̃ γένῃ· καὶ ἐπ' ὀνειδισμῷ κατὰ τῶν πολυλάλων, οἷον, περίδρομες, ἀντὶ πεφίμωσο. περίδρομοι αἱ Ἐριννύες. καὶ ἐν τῇ παροιμίᾳ.

„ φάτε μάτια ψάρι, καὶ κοιλιὰ περίδρομον.

Πέταλα, τὰ ἀναπεπταμένα ἐλάσματα, εἴτε ἐκ χρυσȣ̃ καὶ ἀργύρȣ, εἴτε σιδήρεια· καὶ Λȣκιανὸς ἔφη, „ κεχρυσωμένον πετάλοις τὸ στῆθος „ — „ καὶ πέταλα ἐξ ἀργύρȣ. τὰ νῦν δὲ παρ' ἡμῖν ἐν χρήσει μόνον ἐπὶ τῶν ταῖς τῶν ἵππων ὁπλαῖς προσηλȣμένων ἐλασμάτων.

ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ γιὰ τὸ καρφὶ χάνει τὸ πέταλον.

Παρ' ἄλλοις δὲ καὶ τὰ τῶν δένδρων φύλλα κατὰ τὸ ἀρχαῖον ἔθος πέταλα καλȣ̃νται, ὡς καὶ παρὰ Θεοκρίτῳ.

( Εἰδυλλ: Ζ )

„ Ἄγειροι, πτελέαι τε εὔσκιον ἄλσος ἔφαινον,
„ χλωροῖσι πετάλοισι κατηρεφέες κομόωσαι.

Πὲς δωρικῶς φαμὲν, ἀντὶ τȣ̃ κοινῶς εἰπέ.

Πέταυρον, πέταυρα. αἱ λεπταὶ σανῖδες· καὶ Θεόκριτ.. ἔφη, τροπῇ Δωρικῶς τῆς ‾αυ εἰς ‾ευ.

„ σεισαμένας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πετεύρῳ.

†Πέτζα, ὁ φλοιὸς τῶν δένδρων, καὶ πετζὶ τὸ δέρμα.

Πετάω, πετῶ· ᾧπερ ἡμεῖς καὶ ἀντὶ τοῦ ῥίπτω χρώμεθα· οἷον, τὸ πετάω εἰς τὸν ἀέρα „— „ τὸ πετάω ἔξω ἀπὸ τὸ παράθυρον. πέτομαι μεταφορικῶς, ἀντὶ τοῦ μεγαλαυχῶ.

Πετροβολιὰ, ἀντὶ πετροβολία, ὡς παρὰ Ξενοφῶντι „ εἰ ἐγὼ πετροβολίας, ἢ ἄλλου τινος βιαίου ἐξάρχω, τῆς ἐχάτης „ δίκης ἄξιος εἶναι, καὶ ὑφέξω τὴν δίκην.

Πέττουρον· πετταστή· πῆττα, παρὰ τὸ, πέττειν, τὸ ἀρτοποιεῖν, καὶ πλακουντοποιεῖν· καὶ ἐν ταῖς παροιμίαις·

„ πέσε πῆττα, νὰ σὲ φάγω.
„ τέτοιος φίλος, τέτοια πῆττα.

Πηγάδι, πηγάδιον, τὸ φρέαρ, ἐκ μεταφορᾶς τῆς πηγῆς, ὅτι καὶ ἐν αὐτῷ διὰ ὑπογείων σωλήνων πηγάζουσιν ὕδατα. Εὕρηται τὸ φρέαρ συνωνύμως τῇ πηγῇ ἐκλαμβανόμενον παρὰ τοῖς ἑβδομήκοντα, ἐν τῷ περὶ γενέσεως ὧδέπως „ καταβᾶσα ἐπὶ τὴν πηγὴν „ (ἡ Ῥεβέκκα) ἔπλησε τὴν ὑδρίαν αὐτῆς, καὶ ἀνέβη." — „ καὶ κατωτέρω — „ καὶ ἔσπευσε, καὶ ἐξεκένωσε τὴν „ ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι πάλιν·„ καὶ παρ᾽ Ἰωάννῃ τῷ εὐαγγελιστῇ „ἦν „ δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακὼβ „ ἣν προϊὼν φρέαρ ἐκάλεσε. „ Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ.

Πήγω, πήγω, ἐξ οὗ πήγνυμι·

Πιάνω, κατέχω, κρατῶ, ἀντὶ τοῦ πιάζω, βαρβάρῳ τροπῇ τοῦ ζ εἰς ν. ὡς παρὰ Θεοκρίτῳ (εἰδ: )

,, τηνεί καί τοι ταῦρον ἀπ' ὤρεος ἄγε πιάξας

,, τᾶς ὀπλᾶς, κήδωκ' Ἀμαρυλλίδι.

ἔπιασα, ἀντὶ ἐπίασα. θέλουν, νὰ τὸν πιάσουν, κατὰ τὸ παρὰ τῷ αὐτῷ εὐαγγελιστῇ ,, ἐζήτουν οὖν πάλιν ,, αὐτὸν πιᾶσαι.

Πιδέξιος, ἀντὶ ἐπιδέξιος, καλὸς, ἐπιτήδειος.

Πλάγι, πλάγιον, γλάγια. καὶ Ξενοφῶν ἔφη ,, παρέ- ,, πεμψε δὲ καὶ τῶν γυμνητῶν ἀνθρώπους εὐζώνους εἰς τὰ πλά- ,, για, καὶ τὰ ἄκρα ,,.

Πλαγιάζω, ἀντὶ τοῦ πίπτω εἰς τὴν κοίτην, ἐκ μεταφορᾶς κατὰ τὸ ἐμοὶ δοκοῦν, τῆς ὡς ἐπὶ τὸ πλεῖστον πλαγίας τοῦ σώματος θέσεως ἐν τῷ κοιμᾶσθαι. παρὰ δὲ τοῖς πάλαι τὸ, πλαγιάζω, καθὰ φησιν Ἡσύχιος, ἐπὶ ἀπάτης καὶ δόλου ἦν ἐκλαμβανόμενον.

Πλάθω Δωρικῶς φαμὲν, ἀντὶ τοῦ πλάττω, καὶ ἀντὶ τοῦ πέττω.

Πλαντάζω, ἀντὶ τοῦ ἀδημονῶ, ἔκφρων γίνομαι ὑπὸ δυσαρεσκείας, ἢ λύπης, παρὰ τὸ, Πλάντων ὁ ἄφρων. ὡς τὸ ,, σκάζω καὶ πλαντάζω ,, ἤγουν ὑπὸ τῆς ἀδημονίας σχίζομαι, καὶ ἔκφρων γίνομαι.

Πλάτης, ἀντὶ θηλυκοῦ πλάτη.

Πλειά, ἀντὶ τοῦ πλεῖον.

Πλεμόνι, πλεμόνιον ὑποκοριστικῶς τῷ σχήματι καὶ χυδαϊκῇ ἀποβολῇ τοῦ ν: ἀντὶ τῷ πρωτοτύπου πλεύμων ἀττικῶς, τοῦ κοινῶς πνεύμων.

Πλῆξις μεταφορικῶς, ἀντὶ τοῦ δυσαρέσκεια, ἢ ἀγωνία, παρὰ τὸ, πλήττεσθαι.

Πλουμίζω, πλουμίσματα, αἱ ἐπὶ τοῦ ὕφους ποικιλότητες.

Πολυτεχνᾶς, ὁ πολλὰς μετελθὼν τέχνας, καὶ μηδεμίαν καλῶς ἐπιστάμενος. καὶ ἐν τῇ παροιμίᾳ.

,, ποῦ παγαίνεις κακὴ τύχη, σοῦ πολυτεχνᾶ τὸ σπῆτι.

Πομπεύω, ἐπὶ κακοῦ μόνον τὰ νῦν λέγεται, καθὰ καὶ τὸ θεατρίζω. καὶ Ἰωσὴφ ὁ Βρυέννιος ὁμοίως ἐχρήσατο ἐν τῇ πρὸς Δημήτριον τὸν Κυδώνην, ὧδέ πως εἰπὼν — ,, ἀποκρύπτειν πειρᾶσθαι τὸ αἶσχος, οὐ μέντοι γε ,, ἐκπομπεύειν· Καὶ ἡ πομπὴ ἀντὶ τοῦ καταισχύνη. καὶ πομπεισμένος, ὁ αχρεῖος καὶ πάσης λοιδωρίας ἄξιος, παρὰ τὸ πομπεία ἡ λοιδωρία, καὶ ἐν ταῖς παρ:

,, κάθετ' ἡ πομπὴ σὸν δρόμον, καὶ γελάει τοὺς διαβάντας.

,, κάθε πομπὴ μὲ τὴν παρηγοριάν της εἶναι.

,, ὅποιος κρυφὰ πανδρεύεται, φανερὰ πομπεύεται.

Πόνηρος, καὶ πόταμος, προπαροξυτόνως φασί τινες τῶν παρ' ἡμῖν χωρικῶν κατ' Αἰολικὴν χρῆσιν, ἀντὶ πονηρὸς, ποταμός.

Πόνος, ἄλγος, ὀδύνη. Ὁ πόνος γὰρ καὶ παρὰ τοῖς παλαι πρὸς τοῖς ἄλλοις σημαινομένοις σημαντικὸς ἦν καὶ ὀδύνης.

Ποταπός. ἡ ἐπικρατοῦσα συνήθεια ἐξέλαβε τὸ, ποταπὸς, ἐπὶ οὐτιδανότητος καὶ ἐξουθενισμοῦ, οἷον, ποταπὸς ἄνθρωπος. ἀντὶ τοῦ ἀφιλότιμος, εὐτελὴς, ἀχρεῖος. καὶ ἐν τῇ παροιμίᾳ.

,, μὲ ποταπὸ σχοινὶ δὲν κρεμιέται.

Παρὰ δὲ τοῖς πάλαι τὸ, ποταπὸς, ἐν χρήσει ἦν ἐρωτηματικῶς περὶ τρόπου τοῦ, περὶ οὗ ἡ ἐρώτησις, καὶ τούτου ἐξωνουμένου, ἀντὶ τοῦ ποῖος, ἢ ὁποῖος. οἷον, ποταπός σοι δοκεῖ ὁ Ἀνδρέας; ἀντὶ τοῦ ὁποῖος σοι δοκεῖ εἶναι τὸν τρόπον ὁ Ἀνδρέας.

Πορδὴ ἀπὸ τοῦ πέρδειν.

Πουλάριον, ἀντὶ πωλάριον.

Πουλὶ, πουλιὰ, ἀντὶ τοῦ Πωλίον, πωλία.

Πουρνάρι κακῶς ἡμεῖς, καλῶς δ' ἄλλοι πρινάρι ἀντὶ πρῖνος.

Πουρνὸ, καὶ τοῦτο πάντη διεφθαρμένως ἐκφέρομεν, ἀντὶ πρωϊνόν.

Πράτα παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς λέγονται τὰ πρόβατα, καὶ παρὰ τοῖς πάλαι πράτον, πράτα, ἡλικίας προβάτων ἦσαν σημαντικά· καθὼς καὶ πρατῖνος, καὶ πρητήνας ἐλέγετο ὁ συνουσίας ἀρχόμενος κριός. ἐξ οὗ

Πριτζιαῖς μυρίζει, λέγομεν, ἀντὶ τοῦ πρητίας ὄζει, τουτέστι τῆς τοῦ ἱδρῶτος τῶν συνουσίας ἀρχομένων πρητήνων κριῶν δυσώδους ὀσμῆς, καθὰ καὶ ἡ τῶν τράγων γράσος καὶ κινάβρα ἐλέγετο. καὶ ἐν τῇ παροιμίᾳ.

„ὁ βλάχος ἄρχων κι᾽ ἂν γενῇ, πάλε πρητζιαῖς μυρίζει.

Ἐπινοηθῆν' ἔοικεν αὕτη εἰρωνικῶς παρ' ἡμῖν ἡ παροιμία ἐπὶ τῶν δυσγενῶν, τῶν ἐπὶ τῷ πλούτῳ πεφυσημένων, ἀπὸ τῆς ἀτημελοῦς τῶν προσοίκων Βλάχων διαίτης τὰς ἀφορμὰς τῆς εἰρωνείας λαβοῦσι, διὰ τὸ τοὺς

πλείςες αὐτῶν τῶν παρ' ἡμῖν χωρικῶν Βλάχων ποιμενικὸν μετερχομένους βίον, πρητηνείε διὰ παντὸς ἀπίζειν ὀδμῆς.

Πρίσμα, οἰδηματώδης ὄγκος, παρὰ τὸ, πρισμὸς, ἡ φλεγμονή.

Πριώνι, πριώνιον ὑποκοριςικῶς ἀντὶ πρίων· ἐξ ὃ καὶ πριωνίζω ῥῆμα, ἀντὶ τοῦ πρίω, ἀποπρίω „οὐκ οἶδα πόθεν „ῥίνης εὐπορήσας, ἀποπρίει τε τὴν ἅλυσιν" Λουκιανός.

Προβοδῶ, προπέμπω, ἀντὶ τοῦ προβαδῶ.

Προζύμιον, ἀντὶ τοῦ πρόζυμον. καὶ ἐν ταῖς παροιμίαις.

„δανεικὸ κυρὰ τ' ἀλεύρι, δανεικὸ καὶ τὸ προζύμι.
„ςοὺς Γύφτους γιὰ πρόζυμα,

Προπαίρνω, ἀντὶ τοῦ ὑφαρπάζω τὸν τοῦ λέγοντος λόγον, ἀνακόπτω τὴν τοῦ δικαιολογουμένου διήγησιν, παρὰ τὸ ἐπαίρω καὶ τὴν προ· προπαίρνομαι, ἀντὶ τοῦ αὐθαδιάζω.

Προσέληνον, ἐν χρήσει ἦν παρὰ τοῖς προγόνοις ἡμῶν ἡ Ἑλληνικωτάτη αὕτη λέξις, δηλωτικὴ παλαιότητος ἐντίμου γένους τυγχάνουσα· οὐκ ἔχω εἰπεῖν, εἰ ἔτι αὐτῇ χρῶνται οἱ παρ' ἡμῖν χωρικοὶ, ὡς ἐν τῇ παρ' ἡμῖν χυδαϊκῇ σώζεται ᾠδῇ.

„ςὸ σέληνον προσέληνον ςὸ κάλλιο τό. . . . .

Προτηκόνομαι, παρὰ τὴν παρὰ πρόθεσιν καὶ τὸ σηκόομαι κατὰ μέσην διάθεσιν, ἀντὶ τοῦ ὑπεξανίσταμαι τῷ ὑπερέχοντι.

Προτοῦ, πρώην, πρότερον, καὶ νῦν ἐν χρήσει, ὡς καὶ παρὰ Θουκυδίδῃ — „ἦν δέ τι καὶ χρηστήριον τοῖς „Λακεδαιμονίοις πυθικὸν προτοῦ. καὶ ἀλλαχοῦ. „καὶ νεμομέ„νου τὰ ἑαυτῶν ἑκάστου, ἅπερ καὶ προτοῦ.

Πρώνια λέγονται αἱ τῶν ὀρέων ἐξοχαὶ παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς, ἀντὶ τοῦ, πρῶνες, ὡς παρ' Ὁμήρῳ (Ἰλ: μ.)

„ὑψηλῶν ὀρέων κορυφὰς, καὶ πρώονας ἄκρους.

Πυρόνομαι, πρὸς τῷ πυρὶ θάλπομαι, ἀντὶ πυρόομαι.

Προσώπατα Αἰολικῶς φαμὲν ἀντὶ τοῦ κοινῶς πρόσωπα.

ὡς παρ' Ὁμήρῳ (Ἰλ: ή.)

„. . . . . μηδιόων βλοσυροῖσι προσώπασι.

Πωρικὰ, ἀντὶ ὀπωρικὰ, τουτέστιν αἱ ὀπῶραι.

Πωρὶ πωρίον, ὑποκοριστικῶς τῷ σχήματι, ἀντὶ τοῦ πρωτοτύπου, πῶρος, ἡ ἐν τῇ οὐροδόχῳ κύστει ἀπολίθωσις τοῦ ὑγροῦ.

Πραγματεία, ἐμπορία. Τὸ πραγματεία πρὸς πολλοῖς ἄλλοις σημαινομένοις καὶ ἐπὶ τῆς ἐμπορίας ἐτύγχανε καὶ τὸ πάλαι ἐκλαμβανόμενον· καὶ πραγματευτικὸς

ἄνθρωπος ἐλέγετο ὁ ἔμπορος, καὶ ἐμπολαῖος. τὰ νῦν δὲ ἐπὶ τῆς ἐμπειρίας μόνιν ἐν χρήσει ἐξ ȣ̃ ἡ συνήθεια ἐσχημάτισε τὸ, πραγματευτης, ὁ ἔμπορος.

---

Οὐ τῶν παρέργων ἐξιςορῆσαι ϗ τῶν τῆς Κωνςαντινȣπόλεως, πρὸ τῆς ὑπὸ τῶν Φράγκων ἁλώσεως αὐτῆς, πλȣσίων πραγματευτῶν τὴν πολλὴν ἐμπειρίαν.

Μετὰ τὴν καταςροφὴν τῆς Δυτικῆς Ρ῾ωμαϊκῆς μοναρχίας, τὴν ὑπὸ τῶν ἐπαλλήλων βαρβαρικῶν ἐθνῶν γενομένην, καὶ τὴν ἐν αὐτῇ πανταχόσε ἐπιπολάσασαν ἀταξίαν, μόναι δύο πόλεις τῆς Ἀνατολικῆς Ρ῾ωμαϊκῆς αὐτοκρατορίας διετέλεσαν πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν ἐπανθȣ̃σαι ϗ τῇ ἐμπορίᾳ, ἡ ἐν Αἰγύπτῳ Ἀλεξάνδρεια, ϗ ἡ βασιλεύȣσα Κωνςαντινȣ́πολις· ἡ μὲν δεχομένη ϗ τὰ διὰ τῆς Ἐρυθρᾶς θαλάσσης ἀπό τε τῆς Ἰνδικῆς καὶ τῆς εὐδαίμονος Ἀραβίας, καὶ τὰ διὰ τοῦ Νείλȣ τȣ̃ ποταμȣ̃ ἀπὸ τῆς Αἰθιοπίας διαπορθμευόμενα πάμπολλα εἴδη τῆς πραγματείας· ἤδε εἰς ἑαυτὴν καὶ ταῦτα καὶ δὴ καὶ τὰ ἀπὸ τȣ̃ Περσικȣ̃ κόλπȣ δί Εὐφράτȣ τȣ̃ ποταμȣ̃, ἔπειτα δὲ πεζῇ διὰ τῆς ἐπισήμȣ ποτὲ πόλεως (*) Παλμύρας διαπεραιȣ́μενα μετακομί-

---

(*) περὶ τῆς Παλμύρας ἐν τῷ τέλει ῥηθήσεται.

ζȣσα, ἔτι δὲ καὶ τὰ ἀπὸ τῶν Βορείων μερῶν διὰ τȣ̃ Εὐξείνȣ πόντȣ ἐμπορεύματα, ἀπεκατέςη παντοπώλιον καὶ μονοπώλιον τȣ̃ ἐμπορίȣ, μεταδίδȣσα αὐτὰ ἔπειτα ὡς ἐκ πηγῆς τινος εἰς τὰς ἄλλας τὰς τῇ Μεσογείῳ θαλάσσῃ παρακειμένας πόλεις.

Μετὰ δὲ τὴν ὑπὸ τῶν Σαρακηνῶν ἅλωσιν τῆς τε Αἰγύπτȣ καὶ τῆς Συρίας, διὰ τὴν ἐν αὐταῖς αὐτῶν τυραννικὴν διοίκησιν, καὶ τȣ̀ς μεταξὺ αὐτῶν ἐμφυλίȣς πολέμȣς, τέλος λαβȣ́σης καὶ τῆς ἐν αὐταῖς προϋπαρξάσης ἐμπορικῆς κινήσεως, οἱ Κωνςαντινοπολῖται πόθῳ τȣ̃ κέρδȣς μὴ ἀφιςάμενοι τῶν ἐλπίδων, ἐξεῦρον ἄλλην ὁδὸν εἰς τὰς Ἰνδίας, ἀπίθανον μὲν δοκȣ̃σαν διὰ τὸ πάνυ ἐργῶδες τȣ̃ ἐπιχειρήματος, ὁμολογȣμένην δὲ ὑπὸ τῶν ἱςορικῶν, μάλιςα δὲ ὑπὸ τȣ̃ περιφήμȣ Ἀγγλικȣ̃ ἱςορικȣ̃ Ῥοβερτσόνȣ, τȣ̃ ἐν τοῖς ἡμετέροις καιροῖς ἀκμάσαντος, ἱςορȣ̃ντος ἐν τῇ τῆς Ἀμερικῆς ἱςορίᾳ, ὅτι οἱ πλȣ́σιοι πραγματευταὶ τῆς Κωνςαντινȣπόλεως ἀπὸ τȣ̃ Εὐξείνȣ ἢ τῆς Μαιώτιδος ἀναπλέοντες τὸν Τάναϊν ποταμὸν (δηλονότι μέχρι τȣ̃ ὁρμητηρίȣ δονσκάγια πρίςανη καλȣμένȣ) κἀκεῖθεν δὲ δι᾽ ἁμαξῶν ὡσεὶ δώδεκα ὡρῶν διάςημα μέχρι τȣ̃ Βόλγα ποταμȣ̃ διαπερῶντες· ἔνθ᾽ αὖθις ναυτιλώμενοι, καὶ σὺν τῷ ῥεύματι αὐτȣ̃ ἐκβάλλοντες εἰς τὴν θάλασσαν τὴν Κασπίαν, καὶ ἐξ αὐτῆς εἰσπλέοντες τὸν (Α΄) Ὦξον ποταμὸν, μέχρι τῶν πλευσίμων αὐτȣ̃ ἀρχῶν, τῶν ἐν ταῖς ὑπωρείαις τῶν (Β΄) καυκα-

σίων ὀρέων· ἐκεῖθεν δὲ πάλιν διαπερῶντες αὐτὰ τὰ ὄρη, καὶ φθάνοντες τὰς πλευσίμους ἀρχὰς τοῦ Ἰνδοῦ ποταμοῦ· καὶ αὖθις ἐν αὐτῷ τῷ Ἰνδῷ ναυτιλώμενοι, καὶ ἐκβάλλοντες εἰς τὸν Ἰιδικὸν κόλπον, ἔνθα καὶ πωλοῦντες καὶ ἀνταγοράζοντες, ἐπανέστρεφον οἴκαδε μετὰ τοῦ πλουσίου φόρτου διὰ τῆς αὐτῆς πορείας·

Ὁ δὲ πολυμαθέστατος Γάλλος Ῥαϋνάλδος ἱστορεῖ περὶ τῶν Γραικῶν, ὅτι ἐξεῦρον καὶ ἑτέραν ὁδὸν εἰς τὰς Ἰνδίας, συντομωτέραν μὲν, δύσκολον δὲ καὶ πολλοῖς τοῖς κινδύνοις ὑποκειμένην, καθὼς καὶ ἡ πρώτη· ἤγουν ἀπὸ τοῦ Εὐξείνου εἰς τὸν (Γ) Φάσιδα ποταμὸν, ἔπειτα δὲ ἁμάξαις διὰ τῶν κατὰ τὴν Γεωργιανὴν Ἰμιρετίαν Καυκασίων μέχρι τοῦ (Δ) Κύρου ποταμοῦ, τοῦ ἐκβάλλοντος εἰν τὴν Κασπίαν, καὶ ἐξ αὐτῆς εἰς τὸν Ὦξον μέχρι τοῦ Ἰνδικοῦ κόλπου· ἐκεῖθεν δὲ ἡ ἐπανάκαμψις αὐτῶν εἰς τὴν Κωνσταντινούπολιν διὰ τῆς αὐτῆς πορείας.

Μετὰ δὲ καὶ τὴν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Φράγκων ἅλωσιν ἔλαβε πέρας καὶ ἡ τοιαύτη αὐτῶν ἐμπορικὴ εἰς τὰς Ἰνδίας κίνησις, καὶ ἡ μνήμη αὐτῆς ζόφῳ λήθης παντελοῦς παραδέδοται.

(Α΄) παρ᾽ Ἀῤῥιανῷ. ,, ὁ δὲ Ὦξος ποταμὸς ῥέει μὲν
,, ἐκ τοῦ ὄρους τοῦ Καυκάσου· ἔστι δὲ ποταμὸς μέγιστος τῶν ἐν
,, τῇ Ἀσίᾳ, ὅσους δὴ Ἀλέξανδρος καὶ οἱ ξὺν Ἀλεξάνδρῳ
,, ἐπῆλθον. οἱ δὲ Ἰνδοὶ ποταμοὶ πάντων μέγιστοι. Ἐξίησι δὲ
,, ὁ Ὦξος εἰς τὴν (*) μεγάλην θάλασσαν τὴν καθ᾽ Ὑρκα-
,, νίαν."

(*) Μεγάλην αὐτὴν ὁ Ἀῤῥιανὸς ὠνόμασε θάλασσαν κατά γε τὴν ἑαυτοῦ, αὐτοῦ τε τοῦ Ἀλεξάνδρου, καὶ τῶν τὰ κατ᾽ αὐτὸν τὸν Ἀλέξανδρον προσυγγραψάντων σφαλερὰν δόξαν, οἰομένων τὴν Κασπίαν κόλπον εἶναι μέγαν τοῦ Ὠκεανοῦ, οἷοι εἰσὶν ἥ τε Ἐρυθρὰ καὶ ὁ Περσικός· καθὰ ὁ αὐτὸς Ἀῤῥιανὸς προϊὼν ἐπιβεβαιοῖ ταύτην τὴν εἰκασίαν, ὧδέπως εἰπὼν
,, ἐκ τούτου δὴ Ἡρακλείδην τὸν Ἀργαῖον ἐκπέμπει εἰς Ὑρκανίαν
,, ναυπηγοὺς ἅμα οἱ ἄγοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν
,, ὀρῶν τῶν Ὑρκανίων, ναυπηγεῖσθαι ναῦς μακρὰς, ἀφράκ-
,, τους τε καὶ πεφραγμένας ἐς τὸν κόσμον τὸν Ἑλληνικόν· πό-
,, θος γὰρ εἶχεν αὐτὸν καὶ ταύτην μαθεῖν τὴν θάλασσαν τὴν
,, Κασπίαν τε καὶ Ὑρκανίαν καλουμένην, ποίᾳ τινὶ ξυμβάλλει
,, θαλάσσῃ.

Διατὶ δὲ ὁ Ὦξος τὰ νῦν τὴν ἀρχαίαν αὐτοῦ παραμείβων διώρυγα, ἐκβάλλει εἰς τὴν θάλασσαν ἢ λίμνην Ἀράλ καλουμένην, ἐν τῷ περὶ τῆς Αὐτονόμου ῥηθήσεται.

(Β') Ἡ σειρὰ τῶν Καυκασίων ὀρέων, ἢ ἑνικῶς εἰπεῖν τȣ̃ Καυκάσȣ, ἄρχεται ἀπὸ τῆς τῇ Κασπίᾳ θαλάσσῃ παρακειμένης Γεωργιανῆς ἐπαρχίας, Συρβȣ̀ν καλȣμένης, ȣ̉ μακρὰν τῶν Κύρȣ τȣ̃ ποταμȣ̃ εἰς τὴν θάλασσαν αὐτὴν ἐκβολῶν, παρεκτεινομένη κατὰ τὰ Βόρεια μέχρι τȣ̃ ἡμίσεως σχεδόν πȣ τῶν αὐτῆς τῆς Κασπίας ὄχθων· ἔνθα ὑπερηψȣμένη εἰς (*) κορυφὰς, χιόσιν ἀεννάως λευκαινομένας, παρακλίνει ἑλικοειδῶς πρὸς τὴν Δύσιν μέχρι τȣ̃ Εὐξείνȣ πόντȣ. ἐντεῦθεν δὲ χαλῶσα κατὰ μικρὸν ἀπὸ τȣ̃ ὑπερβάλλοντος ὕψȣς, καὶ κατὰ πᾶσαν τὴν πρὸς Δυσμὰς ἀφορῶσαν ὄχθην τȣ̃ Εὐξείνȣ προάγȣσα, ἐξαπλȣ̃ται κατὰ τὸ μέσον τῆς Ἀσίας, διαχωρίζȣσα Περσίαν τε καὶ τὴν Ἰνδικὴν ἀπὸ τῆς αὐτονόμȣ λεγομένης Ταρταρίας· κατ' ἐξακολȣ́θησιν δὲ καὶ αὐτῆς τῆς Ἰνδικῆς χερσονήσȣ κατὰ τὸ μέσον προβαίνȣσα, ἐκτείνεται μέχρι τȣ̃ κατ' αὐτὴν

---

(*) Ὁ αὐτὸς Ἀῤῥιανὸς ἐν τῷ τοῦ Εὐξείνȣ παράπλῳ.
„ ἀπὸ δὲ τȣ̃ ἵππȣ, ὡς ἐπ' Ἀσέλεφον καὶ Διοσκȣριάδα, κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς· καὶ τȣ̃ Καυκάσου κορυφή τις ἐδεικνυτο· Στρόβιλος τῇ κορυφῇ ὄνομα, ἵνα περ ὁ Προμηθεὺς κρεμασθῆναι ὑπὸ Ἡφαίσȣ κατὰ πρόςαξιν Διός μυθεύεται.

Ω'κεανȣ̃, ἔνθα καὶ ἀποπερατȣ̃ται (**). διὸ καὶ πάνυ καλῶς Θεόκριτος (εἰδ Ζ'.) ἐσχατόεντα ἐκάλεσε τὸν Καύκασον, ὡς εἰς τὰ ἔσχατα τῆς γῆς διήκοντα, τȣτέςι τῆς Ι'νδικῆς. Α'πὸ δὲ τȣ̃ Εὐξείνȣ μέχρι καὶ αὐτῆς τῆς Ι'νδικῆς ἀποτελεῖ δεξιόθεν καὶ ἄλλας σειρὰς μεγάλων ὀρέων, οἱονεὶ πτέρυγας κατὰ τὴν μικρὰν Α'σίαν, Α'ρμενίαν τε καὶ Περσίαν, καὶ αὐτὴν τὴν Ι'νδικὴν, διαφόρως καλȣμένων, οἷον Ταῦρος, Καρδȣ́χια (XXX) καὶ ἄλλα,

---

XXX) Καρδȣ́χια ὄρη, καὶ οἱ ἐνοικȣ̃ντες, ᾗ φησι Ξενοφῶν, Καρδȣ̃χοι, καὶ τὰ νῦν Καρδȣ̃χοι, Κȣ̃ρντοι, καὶ Κιȣ̃ρντοι λέγονται, καὶ ἡ ἐπαρχία Κȣρδι-

---

(**) καὶ ἐν τῷ Α'λεξάνδρȣ βίῳ ὁ αὐτὸς Ἀῤῥιανός. ,, Μακρὸν γὰρ τὸ ὄρος ὁ Καύκασος, ὥςε καὶ τὸν Ταῦρον τὸ ὄρος ὃς δὴ Κιλικίαν τε καὶ Παμφυλίαν ἀπείργει, ἀπὸ τȣ̃ Καυκάσȣ ,, εἶναι λέγȣσι, καὶ ἄλλα ὄρη μεγάλα διακεκριμένα ἀπὸ τȣ̃ Καυ- ,, κάσȣ, ἄλλῃ καὶ ἄλλῃ ἐπωνυμίᾳ κατὰ τὰ ἔθνη τὰ ἑκάςων.

καὶ προϊὼν ὁ αὐτός.

,, Τὸν δὲ Καύκασον τȣ̃τον καθήκειν ἔς τε ἐπὶ μεγάλην τὴν ,, πρὸς ἕω τε καὶ Ι'νδὰς θάλασσαν.

σαν. Σώζεται ἔτι παρ᾽ αὐτοῖς τοῖς Καρδέχοις κατὰ Βύσσιγγον τὸν γεωγράφον Κωμόπολις Καρδὲ λεγομένη.

---

(Γ) Φάσις ὁ ποταμὸς ἔχει τὰς ἀρχὰς ἐκ τῶν κατὰ τὴν Ἱμιρετίαν Καυκασίων, ἐξίησι δὲ εἰς τὸν Εὔξεινον Πόντον πολλοῖς σόμασι κατὰ Ἀῤῥιανόν. Πρὸς ταῖς ἐκβολαῖς τοῦ Φάσιδος ἦν ποτε πόλις Μιλησίων ἄποικος· ἐμνήσθη τοῦ Φάσιδος καὶ Θεόκριτος (εἰδ  ) ὧδέ πως.

„πεζὸς δ᾽ ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο φᾶσιν.

---

(Δ') Ὁ δὲ Κῦρος ποταμὸς ῥέει ἐκ τῶν κατὰ τὴν τῆς μεγάλη Ἀρμενίας Κάρτσην λεγομένην ἐπαρχίαν Καυκασίων (ἔνθα Μοσχικὰ ὄρη ἐκαλεῖτο) ἐξ ὧν δεξιόθεν μὲν ῥέει ὁ Εὐφράτης ποταμὸς, ἐξ ἀρισερῶν δὲ ὁ Κῦρος· ὅσις διὰ ἀποτόμων βράχων καταῤῥασσόμενος εἰς χαράδρας ἀπὸ τῶν μεσημβρινῶν πρὸς τὰ Βόρεια, καὶ παραῤῥέων τὰς τῶν Καυκασίων Ἑλικοειδεῖς ὑπωρείας μέχρι τῆς ἐν τῇ Γεωργίᾳ πρωτευούσης Τιφλὶς πόλεως, ἐκεῖθεν δὲ παρακλίνων τὸν ῥοῦν ἀπὸ τῶν Βορείων πρὸς Μεσημβρίαν, εἰσδεχόμενός τε καὶ τὸν Ἄρας ποταμὸν, τέλος ἐκβάλλει εἰς τὴν Κασπίαν κατ᾽ Ἀνατολάς.

---

Ἐπειδὴ ἀνωτέρω ἐμνήσθημεν τοῦ Ὤξου ποταμοῦ, εἰκός ἐστι καί τινα εἰπεῖν περὶ τῆς Αὐτονόμου Ταρταρίας, πρὸς πλείονα ἰδέαν τῆς τε πάλαι, καὶ τῆς ἐνεστώσης αὐτοῦ δὴ τοῦ Ὤξου καταστάσεως.

Περιορίζεται ἡ Αὐτόνομος Ταρταρία ἀπὸ μὲν τῶν Βορείων ὑπὸ τῆς Σιβιρίας, κατ᾽ Ἀνατολὰς δὲ ὑπὸ τῆς Κίνας, ἀπὸ Δυσμῶν ὑπὸ τῆς Κασπίας θαλάσσης καὶ τῆς Περσίας, ἀπὸ δὲ τῆς Μεσημβρίας ὑπὸ τῶν Ἰνδιῶν· ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἐπίπεδός ἐστι, καὶ ἀμμώδης. μέγιστοι δὲ τῶν δι᾽ αὐτῆς, καὶ τῶν ἐξ αὐτῆς ῥεόντων ποταμῶν εἰσι.

Πρῶτος ὁ Γενισέϊσκης ἐκ τῶν Ἐλουτίων ὀρέων ἀρχόμενος, καὶ παραῤῥέων τὴν Οὐλαταΐ λεγομένην τῶν Σοογγάρων πόλιν, προσβάλλει τοῖς τῆς Σιβιρίας ὁρίοις, καὶ τέμνων αὐτὴν τὴν Σιβιρίαν κατὰ μέσην, ὡς εἰπεῖν, γραμμὴν, ἐκβάλλει εἰς τὸν Ἀρκτικὸν Ὠκεανόν.

Δεύτερος ὁ Γρτίσιος ἀπὸ λίμνης οὐ σμικρᾶς Σαϊζὰν καλουμένης ἐκρέων, καὶ πρὸς τῷ πρώτῳ Ῥωσσικῷ Φρουρίῳ, Οὐς Βοχταρμίνσκα καλουμένῳ, ἀρχόμενος ὁρίζειν τὴν τῆς Σιβιρίας Κολλιβανικὴν ἐπαρχίαν ἀπὸ τῶν Καϊσὰκ Κιργίζων, παραῤῥέει τὰ Φρούρια, Οὐς Καμενογόρσκοε, Σεμιλάτναν, καὶ Ὄμσκ, ἐκεῖθεν δὲ τέμνων τὴν κάτω Σιβιρίαν, παραῤῥέων τε τὰς

πόλεις Τάραν καὶ Τοβίλσκον, δεχόμενός τε πολλοὺς καὶ μεγάλους ποταμοὺς, τέλος συμβάλλει τῷ Ὀβίῳ ποταμῷ.

Αὐτὸς δὲ ὁ Ὄβιος, Ῥωσσιστὶ Ὄμπ, ὁ πάντων τῶν τῆς Σιβιρίας ποταμῶν μέγιστος, κατὰ τοὺς νεωστὶ ἐν Πετρουπόλει τυπωθέντας γεωγραφικοὺς τῆς Σιβιρίας χάρτας, ἔχει τὰς ἀρχὰς οὐχὶ ἀπὸ τῆς Αὐτονόμου, ἀλλὰ ἀπὸ τῶν Ἀλταΐ Ἀλὶν καλουμένων ὀρέων, τῶν ταύτην ἀπὸ τῆς Σιβιρίας ἀφοριζόντων. Τρεῖς γὰρ ποταμοὶ ἀπὸ τῶν νιφοέντων ἄκρων αὐτῶν τῶν Ἀλταΐ ἀλὶν καταῤῥασσόμενοι, ἀποτελοῦσι τὴν οὐ σμικρὰν λίμνην Τελέτζκαν, Ἀλτοίνην δὲ ὑπὸ τῶν ἐγχωρίων καλουμένην. Ἐξ αὐτῆς οὖν τῆς λίμνης ἐκρέων ὁ Ὄμπ, δεχόμενός τε καὶ ἄλλους πολλοὺς καὶ μεγάλους ποταμοὺς, τέλος καὶ τὸν Ἰρτίσιον ὡς ἀνωτέρω εἴρηται, ἐκβάλλει εἰς τὸν ὁμώνυμον αὐτῷ Κόλπον, Ὀμπσκάϊα γοῦμπα καλούμενον, ἄντικρυς τῆς ὑπερβορείου νήσου Νόβας Ζέμλας λεγομένης.

Τρίτος ὁ Σίῤῥος ῥέων ἐκ τῶν κατὰ τὴν μικρὰν Βοχαρίαν Καυκασίων, καὶ τέμνων πολὺ διάστημα τῆς Αὐτονόμου, ἐκδίδωσιν εἰς τὴν θάλασσαν Ἀράλ.

Τέταρτος ὁ Ὦξος, ὁ κατά τινας τῶν νεωτέρων γεωγράφων καὶ Γεὼν καλούμενος, ἔχει τὰς ἀρχὰς

ἀπὸ τῶν κατὰ τὴν μεγάλην Βοχαρίαν (x) Καυκασίων, τέμνων πᾶσαν αὐτὴν τὴν Βοχαρίαν, καὶ ἐκβάλλων πάλαι μὲν εἰς τὴν θάλασσαν τὴν (xx) Κασπίαν, νῦν δὲ εἰς τὴν λίμνην Ἀράλ, τὴν καὶ θάλασσαν λεγομένην. Αἰτία δὲ ταύτης τῆς τȣ̃ Ὤξȣ μεταβολῆς ἐςὶν ἡ κατιȣ̃σα· Οἱ τȣ̃ τῆς Σαμαρκάνδας βασιλεῖȣ Τάρταροι Οὐζβέκοι φοβηθέντες τὰς τῶν Ῥώσσων ναυτικὰς

---

x) Ὁ δὲ Ὦξος ποταμὸς ῥέει μὲν ἐκ τȣ̃ ὄρȣς τȣ̃ Καυκάσȣ·
„ ἔςι δὲ ποταμὸς μέγιςος τῶν ἐν τῇ Ἀσίᾳ.

(xx) ἐξίησι δὲ ὁ Ὦξος εἰς τὴν μεγάλην θάλασσαν τὴν καθ'
„ Ὑρκανίαν. Ἀῤῥιανός.

Καὶ ἐκ τῶν τȣ̃ ςράβωνος γεωγραφικῶν ὧδέπως

„ Ὅτι ὁ περίπλȣς τῆς Ὑρκανίας θαλάσσης, ὁ μὲν παρὰ
„ τȣ̀ς Ἀλβανȣ̀ς καὶ Καδȣσίȣς ἐςιν. εὐ. ςαδίων· ὁ δὲ παρὰ
„ τὴν Ἀριακῶν καὶ Μαρδῶν καὶ Ὑρκανῶν μέχρι τȣ̃ ςόματος
„ τȣ̃ Ὤξȣ ποταμȣ̃ δ, ώ.

Ἐπιμαρτυρεῖ δὲ καί τις τῆς Ἀντονόμȣ γεωγραφικὸς χάρτης νεωςὶ ὑπὸ ἀξιοπίςων σχεδιασθεὶς περιηγητῶν. „ ἐν ᾧ φαίνεται ἔτι σωζομένη ἡ ἀρχαία διῶρυξ
„ τȣ̃ Ὤξȣ, ξηρὰ μὲν, βάθος δὲ καὶ πλάτος ἐπέχȣσα ποταμȣ̃
„ μεγίςȣ, ἀρχομένη ȣ̉ τοσȣ̃τον μακρὰν τῆς πόλεως Σαμαρ
„ κάνδας, καὶ ἀποπερατȣμένη ἐν τῇ Κασπίᾳ θαλάσσῃ.

δυνάμεις, ὅτε ἐπιφαίνεσθ' ἤρξαντο ἐν ταῖς ἐκβολαῖς τοῦ Βόλγα ποταμοῦ, ἔτι καὶ περαιτέρω ἐν τῇ Κασπίᾳ, πολλαῖς μηχαναῖς καὶ ὕλῃ προχώσαντες τὴν ἐκβολὴν ἢ διώρυγα τοῦ Ὤξου, παρέτρεψαν τὸν ῥοῦν αὐτοῦ εἰς τὴν λίμνην Ἀράλ. Ἄδηλος ὁ χρόνος, ἐν ᾧ αὐτοὶ οἱ Οὐζβέκοι τῆς ἑαυτῶν μὴ ἀμελήσαντες σωτηρίας, ἠδυνήθησαν αὐτὸ δὴ τὸ δυσκατέργαστον ἀποτελέσαι ἐπιχείρημα· ὑποληπτέον δ' ὅμως μετὰ πάσης τῆς πιθανότητος, ὅτι πρὸς τῷ τέλει τοῦ (ΙϚ') αἰῶνος, ἤγουν μετὰ τὴν καταστροφὴν τῆς Ἀστραχανικῆς Βασιλείας, κατὰ τὸ 1554 ἔτος γενέσθαι ἱστορουμένην· ἄφευκτος γὰρ ἂν εἴη καὶ αὐτῶν τῶν Οὐζβέκων ἡ καταστροφὴ, τοῦ Ὤξου μένοντος ἐν τῇ πρώτῃ καταστάσει. Ἐλπιστέον δ' ὅμως, ὅτι καὶ αὐτὸς ὁ μέγιστος ποταμὸς λήψεται τὸν ἔκπαλαι ῥοῦν, καὶ ἡ δι' αὐτοῦ εἰς τὴν Ἰνδικὴν ὑδατοπορεία, πολλῆς γενήσεται τῆς ὠφελείας πρόξενος.

Ἔθνη δὲ τῆς Αὐτονόμου Ταρταρίας.

| | |
|---|---|
| Πρῶτον τὸ τῆς μεγάλης Τιβετίας, ἐν ᾗ καὶ ὁ θρόνος τοῦ μυθολογουμένου ἀθανάτου Δαλάη Λάμα. . . . . . . . . . ,, | πρὸς Μεσημβρίαν. |
| Δεύτερον τὸ τῆς μικρᾶς Τιβετίας. ,, | |
| Τρίτον τὸ τῆς μικρᾶς Βοχαρίας ὑποκείμενον εἰς τοὺς Καλμούκους. . . . ,, | |

| | |
|---|---|
| Τέταρτον τὸ τῶν Οὐζβέκων, πλησιοχώρων ὄντων τοῖς Πέρσαις, καὶ τῇ Κασπίᾳ. . . . . . . . . . . . . . " | κατὰ τὴν Δύσιν. |
| Πέμπτον τὸ Τουρκεσὰν, συγκείμενον ὑπὸ τῶν Καϊσὰκ Κιργίζων, καὶ τῶν Καρακαλπάκων . . . . . . . . . . " | κατὰ τὸ Βόρειον. |
| Ἕκτον τὸ τῶν Ἑλούτων, τῶν καὶ καλμούκων λεγομένων . . . . . . . . . " <br> Ἕβδομον τὸ τῶν Μουγγάλων . " <br> Ὄγδοον τὸ τῶν Σοογγάρων . . " | κατ' ἀνατολάς. |

---

Παραμείψαντες τὰ ἄλλα, εἴπωμεν περὶ τοῦ τῶν Οὐζβέκων μόνου, ἀπὸ Οὐζβέκου Υἱοῦ τοῦ περιφήμου, Γιγγὶς Χὰν οὕτως ὀνομασθέντων.

Αὐτὸ τὸ τῶν Ουσβέκων ἔθνος διαιρεῖται εἰς δύο, ἓν μὲν τὸ προσοικοῦν ταῖς πρὸς Μεσημβρίαν ἀφορώσαις ὄχθαις τῆς Ἀράλ, ὑπὸ τῷ ὀνόματι βασίλειον τοῦ Χαράσμου γνωριζόμενον, καὶ ἡ πρωτεύουσα πόλις Οὐργένσα καλεῖται· δεύτερον δὲ τὸ προσοικοῦν τῷ Ὤξῳ ποταμῷ κατ' ἀμφοτέρας αὐτοῦ τὰς ὄχθας, καὶ μέχρι Σίρρου τοῦ ποταμοῦ δεξιόθεν ἐκτεινόμενον, γενικῷ ὀνόματι μεγάλη λεγόμενον Βοχαρία, ἐμπεριέχον τρεῖς μεγάλας ἐπαρχίας, ἢ βασίλεια ὁμώνυμα ταῖς πρωτευού-

ταις πόλεσιν, ἤγουν τὴν Βάλκαν, τὴν ὑπὸ τῶν Καυκασίων ἀφοριζομένην τῆς Ἰνδικῆς, Βουχάραν τὴν κατὰ τὸ μέσον, καὶ τελευταίαν τὴν Σαμαρκάνδαν.

Τούτου δὲ τοῦ τῆς Σαμαρκάνδας Βασιλείου ἡ ὁμώνυμος αὐτῷ πρωτεύουσα πόλις ὑπῆρξέ τε, καὶ νῦν ἐστι μεγάλη τε καὶ εὐδαίμων, παραῤῥεομένη ὑπὸ τοῦ Ὤξου ποταμοῦ, χρηματίσασά ποτε καθέδρα τοῦ τε Γιγγὶς Χὰν καὶ τῶν ἀπογόνων αὐτοῦ, ἔτι δὲ καὶ τοῦ Τεμὴρ Χὰν, ἢ κοινοτέρως Τεμερλάνου· Περὶ αὐτῆς τινες ἀφελῶς γράφουσιν, ὅτι ἐκτίσθη ὑπὸ Ἀλεξάνδρου· λογιστέα δὲ ἄνευ τινος ἀμφιβολίας ἡ νῦν λεγομένη Σαμαρκάνδα εἶναι ἡ αὐτὴ ἡ παρὰ Ἀῤῥιανῷ οὐδετεροπληθυντικῶς Μαράκανδα καλουμένη, ὡς ἐν τῷδε. „Ἀλέξανδρος δὲ „ἀναπληρώσας τὸ ἱππικὸν ἐκ τῶν αὐτόθεν ἵππων, (πολλοὶ γὰρ „αὐτῷ ἵπποι ἔν τε τῇ ὑπερβολῇ τοῦ Καυκάσου, καὶ ἐν τῇ ἐπὶ „τὸν Ὦξόν τε, καὶ ἀπὸ τοῦ Ὤξου πορείᾳ ἐξέλειπον) ὡς ἐπὶ „Μαράκανδα ἦγε· τὰ δὲ ἐστι Βασίλεια τῆς Σογδιανῆς χώρας·

Λίμναι δὲ ἐν τῇ Αὐτονόμῳ Ταρταρίᾳ πολλαὶ, καὶ ἁλμυραὶ αἱ πλείονες· μεγίςη δ' ἁπασῶν ἡ Ἀράλ, ἡ καὶ θάλασσα καλȣμένη, ἔκτασιν μήκȣς ἔχȣσα ὡσεὶ διακοσίων ἑξήκοντα Μιλίων Ἰταλικῶν· τὸ δὲ πλάτος αὐτῆς ὑπὲρ τὰ ἑκατὸν καὶ εἴκοσί ἐςι· τοσȣ̃τον δ' ἀπέχει καὶ τῆς Κασπίας, εἰς ἣν ἐκβάλλȣσι τὰ νῦν οἱ εἰρημένοι δύο μέγιςοι ποταμοὶ ὁ Σίῤῥος, καὶ ὁ Ὦξος. Ὑπέλαβέ τις αὐτὴν ὡς αὐξȣμένην, ἐξ ὅτȣ ἤρξατο δέχεσθαι καὶ τὸν Ὦξον· Πολὺ ὅμως ἀπέχει τῆς ἀξιοπιςίας ἡ σφαλερὰ ταύτη ὑπόληψις· ἡ γὰρ κατ' αὐτὸν μυθολογȣμένη αὔξησις ȣ̓χὶ ἐν δυσί πȣ ἑκατονταετηρίδαις, ἀλλὰ καὶ ἐν πάνυ ὀλίγῳ χρόνῳ ὑπὸ τοσȣ́των τȣ̃ Ὤξȣ ῥευμάτων αὐτῇ προσγινομένη, ἔμελλεν ἂν καταποντῖσαι καὶ τὴν παρακειμένην αὐτῇ πόλιν Οὐργένσαν, καὶ πάντα τὰ χθαμαλὰ, καὶ τέλος ἐξευρεῖν τὴν διέξοδον. Ὑποληπτέον δὲ ἐν πολλῇ τῇ πιθανότητι, ὅτι αὐτὴ ἡ Ἀράλ συνάπτεται τῇ Κασπίᾳ θαλάσσῃ δι' ὑπογείων σωλήνων· καθὼς καὶ αὐτὴ ἡ Κασπία κατὰ τὰς πολλῶν εὐλογοφανεῖς εἰκασίας καὶ παρατηρήσεις ἔχει συνάφειαν μετὰ τȣ̃ Ἰνδικȣ̃ Κόλπȣ, ἢ ἄλλης τινὸς θαλάσσης.

Προσθήκη εἰς τὸ Π —

Πάγος, παρ' Ἡσυχίῳ, ὄχθος, βουνὸς, ψύχος. Διετήρησεν ἡ συνήθεια μόνην τὴν τρίτην σημασίαν ἐπὶ ὕδατος τοῦ ψύχει πηγνυμένου, σχηματίσασα καὶ ῥῆμα παγόνει. καὶ Λουκιανὸς ἔφη „ἐπὶ τοῦ πάγου διο„λισθαίνοντες" ἀλλαχοῦ δὲ ὁ αὐτὸς ἐπὶ ὄχθου ἢ βουνοῦ εἴρηκεν οὕτως — „αὐτὴ μὲν ἐνταῦθα που ἐπὶ τοῦ πά„γου κάθησο" ὡς καὶ παρ' Ὁμ: (Ὀδ ε.)

„ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε.

Παμπάλαιος. ἐφύλαξεν ἡ συνήθεια καὶ ταύτην τὴν λέξιν, ὡς καὶ Πλούταρχος ἔφη. „διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων, καὶ νομοθετῶν ἔς τε ποιητὰς καὶ „φιλοσόφους δόξα."

Πάνα λέγεται, παρ' ἡμῖν, παρ' ἄλλοις δὲ σκέπη, τὸ παρὰ τοῖς πάλαι ἔπιπλον λεγόμενον, τουτέστιν ὁ ἐπὶ τῆς κοιλίας καὶ τῶν ἐντέρων πιμελώδης ὑμήν. πάναν δὲ αὐτὸ ἡμεῖς καλοῦμεν ἴσως διὰ τὴν λευκότητα.

Παντοῦρα, ὄργανον μουσικὸν, ἀντὶ, πανδοῦρα.

Παραδαίρεται, φαμὲν, ἐπὶ τῶν ὑπὸ σπασμῶν καὶ ἐσωτερικῶν πόνων ἀγωνιώντων, παρὰ τῆς παρα προθέσεως ἐπίτασιν, ἐνταῦθα σημαινούσης, καὶ τοῦ δαίρεται κατὰ μέσην διάθεσιν ἐκλαμβανομένου, ἀντὶ τοῦ σφαδάζει, σπαίρει. ἐξ οὗ παραδαρμὸς τῆς καρδίας, παλμὸς, σπασμὸς κατὰ τό. „πάλλεταί τις „καρδίαν.

Παρανόμι, ἀντὶ τȣ̃ ἐπώνυμον τῆς φυλῆς, ἰδιωτικῶς φαμιλλίας· βαρβαροπαρασχηματισθῆναι ἡ λέξις ἔοικεν αὕτη ὑπὸ τῆς χυδαιότητος, ἢ ἀπὸ τȣ̃ παρώνυμον, ὡς ἀγνωȣ́σης τὴν τȣ̃ παρωνύμȣ σημασίαν, ἢ κατὰ κακόζηλον μίμησιν τȣ̃ Ἰταλικȣ̃, σοπρανόμε, τροπῇ τȣ̃, σόπρα (ἐπάνω) εἰς τὴν παρὰ πρόθεσιν, καθὸ καὶ πλησιότητος σημαντικὴν, καί πως ἰσοδυναμȣ̃σαν τῷ, σόπρα, κατὰ τὴν ἔννοιαν τȣ̃ λεγομένȣ.

Παράξενον, παράλογον, παράβȣλον· οἷον, παράξενον πρᾶγμα, παράξενος ἄνθρωπος. Διετήρησεν ἡ συνήθεια καὶ ταύτην τὴν χαριεστάτην τῆς ἀρχαιότητος λέξιν, ἀπὸ τῆς παρὰ, ἐπίτασιν ἐνταῦθα σημαινȣ́σης, καὶ τȣ̃ ξένον, ἀλλότριον, ἀσύνηθες, σχηματισθεῖσαν· ἐξ ȣ̃ καὶ ἐπίῤῥημα παρ' ἡμῖν, παράξενα, καὶ ῥῆμα παραξενεύομαι.

Παρασκαλίζω, ἀντὶ τȣ̃ ἐκτρέπομαι τῆς ὀρθῆς ἀναβάσεως, παρὰ τὸ καθ' Ἡσύχιον σκάλα, ἡ κλίμαξ, καὶ τὴν παρὰ, τὸ ἔξω ἐνταῦθα σημαίνȣσαν, οἷον ἐπαρασκάλισε καὶ ἐκρημνίσθη· μεταφορικῶς δὲ ἐπὶ παραβάσεως λέγεται· οἷον, πρέπει νὰ παιδευθῇς, διότι ἐπαρασκάλισες ἀπὸ τὰ ὅ, τι σ' ἐπρόσαξαν.

Παρομοιάζω ῥῆμα, παρὰ τὸ παρόμοιον, ὡς παρὰ Θȣκυδίδῃ.

„ πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ
„ διανοίᾳ.

† Πασπατεύω, ἀντὶ τοῦ καταψάω, ψηλαφῶ.

Πεδιάδα, ἐκτεταμμένος τόπος, ἀπὸ τῆς αἰτιατικῆς τοῦ πεδιὰς πεδιάδος, ὡς παρὰ Ἡρακλείτῳ ἐν τῷ περὶ Μαγνητῶν·

Ἱππότροφοι δ' εἰσὶν, ὃν τρόπον καὶ οἱ Κολοφώνιοι, πεδιάδα „χώραν ἔχοντες.„

Περιορίζομαι φαμὲν, καὶ χυδαϊκῶς περγιορίζομαι, ἀντὶ τοῦ ςενοχωροῦμαι ὑπὸ φροντίδων, ἢ ὑπὸ συμφορῶν.

Πεντόβολα, εἶδος παιδιᾶς, πέντε λιθίνοις βολίοις ἔτι καὶ νῦν παιζόμενον, τὸ καὶ πεντάλιθα παρὰ Πολυδεύκει λεγόμενον.

Πέσημον τὴν πτῶσιν φαμὲν, ἀντὶ τοῦ, πέσημα, ὡς παρὰ Σοφοκλεῖ (Αἴας μαςι·) „ πρὸς τοῦ δ' ὄλωλε θανασίμῳ πεσήματι;

Πάχος, ςέαρ, λῖπος· παχὺ ἀρνὶ, λιπαρὸν, εὐτραφὲς, παχὺς ἄνθρωπος, ὁ πολύσαρκος· καὶ Λουκιανὸς ἔφη „ ἕνα μέν τινα βραχὺν πρεσβύτην, ὑπόπαχυν „ προγάςορα·„ Παχαίνω ἀμεταβάτως λέγεται, ἀντὶ τοῦ παχὺς γίνομαι, παρὰ τὸ, παχύνω.

Παραχώνω φαμὲν, ἀντὶ τοῦ ἐνδοτέρω ἐμβάλλω, ἢ ἐνθάπτω, ἴσως παρὰ τὸ, χῶ, ἀρχαῖον ῥῆμα, οὗπερ μέλλων λογισθείη ἂν τὸ, χάσω, καὶ ἀόριςος τὸ, ἔχωσα, καὶ τὴν παρὰ πρόθεσιν, πλείονος ἐνταῦθα χέσεως, καὶ τοῦ ἔνδον σημαντικήν· οἷον, τὸν ἐπαράχωσαν, ἐνέθαψαν, ἀντὶ τοῦ παρέχωσαν· παράχωσέτον τὸ ὀγλιγωρότερον·

Παραχώνομαι, ἐπὶ τῶν αὐθαδῶς καὶ παρ' ἀξίαν χωρούντων λέγεται· ὡς καὶ ἐν παροιμίᾳ εἰρωνικῶς·

„ παραχώνεται σὰν βρέξινο καρβέλι.

Πετζὶ, πετζίον λέγεται τὸ παντὸς ζώȣ δέρμα· ὅπερ παραφθορά ἐϛιν, ᾗ φησὶ Κοραῆς, τοῦ ὑποκοριϛικȣ͂ πεσκίον, παρὰ τὸ πέσκος, δέρμα, κώδιον. ἡ συνήθεια τὴν τȣ͂ πετζίȣ, τουτέϛι πεσκίȣ, σημασίαν μετήνεγκε θηλυκῶς ἀπὸ τῶν ζώων καὶ εἰς τὰ δένδρα καὶ ἄλλα, οἷον. πέτζα τȣ͂ δένδρȣ, ἀντὶ τȣ͂ φλοιός. πέτζα τȣ͂ αὐγȣ͂, πέτζα κρομμυδίȣ, ἀντὶ λοπὸς, ἢ λέπυρον·

Πεύκι, πεύκιον, ὁ τάπης, ἀντὶ ἐπεύχιον, ἐπεύχια, διὰ τὸ ἐπ' αὐτοῖς, ᾗ φησὶν ὁ αὐτὸς Κοραῆς, γονυκλιτȣ͂ντας εὔχεσθαι τȣ̀ς βαρβάρȣς.

Πέπτω, ἀντὶ τȣ͂ πίπτω. Τὸ πίπτειν ὡς τὸ πάλαι, οὕτω καὶ νῦν καὶ ἐπὶ τȣ͂ ἀποθνήσκειν φονευθέντας ἐκλαμβάνεται, ἤγȣν ἐν τῷ πολέμῳ. καὶ Πλȣ́ταρχος ἔφη „ ὑπὲρ τῆς πατρίδος ἐπιφανῶς ἔπεσε, καὶ ἡμεῖς, ἐπέσον (τόσοι) εἰς τὸν πόλεμον.

Πηχτὴ, ἀντὶ τȣ͂ πηκτὴ, τὸ συμπεπηγὸς ὄψον.

Πιζέλι, παραφθορά ἐϛι τȣ͂ ὑποκοριϛικȣ͂ πισέλιον, παρὰ τὸ πίσον, εἶδος λαθύρȣ.

Πιτζιένι φαμὲν τὸ ἄπτερον περιϛερίδιον παρὰ τὸ Ἰταλιϛὶ piccione. καὶ τȣ͂το παραφθορά ἐϛι τȣ͂ ὑποκοριϛικȣ͂ πιπίον, παρὰ τὸ, πίπος· ὅπερ οἱ Λατῖνοι

σβετερισάμενοι, pipio ἔλεγον· οἱ δὲ μετὰ ταῦτα Ἰταλοὶ ἐκβαρβαρώσαντες piccione λέγουσι· κατὰ μίμησιν οὗν αὐτῶν καὶ ἡμεῖς πιτζιούνι λέγομεν·

Πλάνος ἐπὶ ἀνθρώπου, ὁ ἀπατεὼν. πλάνος δὲ καὶ ὁ ἐν τῷ ἀγγίστρῳ ἐναγκυλούμενος σκώληξ, ἢ μάσταξ.

καὶ ἐν τῇ παροιμίᾳ.

„ὁ μικρὸς ὁ πλάνος βγάζει μεγάλο ψάρι.„

ὡς παρὰ Θεοκρίτῳ (εἰδ: κέ)

„ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν·

Ποκάρι, ποκάριον, τὸ ὑποκοριστικὸν τοῦ πόκος. πακάριον, τὸ ἑκάστου προβάτου μετὰ τὴν κουρὰν συνειλιγμένον ἔριον·

Πούποτε, φαμὲν, καὶ πουθενὰ, ἀντὶ τοῦ οὐδαμῶς, καὶ τοῦ, οὐδ' ἐν οὐδενὶ τόπῳ. καὶ Ἡσύχιος ἐν τῷ, ποῦ, ἐν ἴσῳ τοῦ οὐδαμῶς.

Πρασινάδα, ἡ θάλασσα πόα, παρὰ τὸ πρασιά· ἐξ οὗ καὶ τὸ πράσινον παρῆκται χρῶμα.

Προσωποδαίρω, ἀντὶ τοῦ, προσωπικῶς ἐλέγχω τινὰ, κατὰ τὸ, παρὰ Παύλῳ τῷ ἀποστόλῳ ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ.

„εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει. (γραπτέον ἴσως δαίρει).

Πασπάλη, πασπάλη, ἡ ἄχνη τοῦ ἀλεύρου, ῥῆμα πασπαλίζω.

Πολέμαρχος, Φαμὲν, ἀντὶ τȣ̃ ϛρατιώτης ἢ πολεμικός. κατάχρησις τȣ̃το τῆς συνηθείας, ἅτε ἀγνοȣ́σης τὴν σημασίαν τȣ̃ πολεμάρχȣ, ὃς ἀρχή τις ἦν παρ᾽ Ἀ-θηναίοις οὕτω καλȣμένη.

Πύργος, πύργος, οὗ τὸ ὑποκοριϛικὸν παρὰ Λȣκιανῷ „πυργίον οἰκοδομησάμενος ἐπὶ τȣ̃ θησαυρȣ̃.„

Πρῶτα ποιητικῶς ϗ νῦν ἀντὶ τȣ̃ πρῶτον Φαμὲν (ὡς Ἰλ: κ΄) „πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ.

# Ρ.

Ραγίζεται, ῥάγισμα, ἐπὶ ἀψύχων λέγεται, οἷον ἐπὶ πετρῶν, ὑαλίνων τε, καὶ λαϊνίων σκευῶν. μεταφορικῶς δὲ καὶ ἐπὶ ἀνθρώπε. οἷον, ῥαγίζεται ἡ καρδιά μȣ·

Ῥάθυμος ἐλέγετο παρὰ τοῖς πάλαι ὁ ἀμελὴς, ἢ ὁ μὴ πονητικός· ἔτι δὲ καὶ ὁ ἀκρόχολος· διετήρησεν ἡ συνήθεια μόνην τὴν δευτέραν σημασίαν· φαμὲν γὰρ ,, μὴ γίνες ἀψῆς καὶ ῥάθυμος σὰν τὸ κλοτζάρικο τὸ μȣλάρι —,,
,, καὶ διατὶ ῥάθυμᾶς, διατὶ ὀργίζεσαι. ἐραθύμησεν ἀντὶ ὠργίσθη·

Ῥαπάνη, ἀντὶ ῥάφανον·

Ῥάμμα παρὰ τὸ ῥάπτω·

Ῥάχη, ῥάχη λέγεται καὶ τὸ μετέωρον, καὶ ἡ πλάτη·

Ῥέμα, ἀντὶ ῥεῦμα.

Ῥετζίνιον, ἀντὶ ῥητίνη·

Ῥεύεται, ἀντὶ τȣ ἐρεύγεται, ἐρυγγάνει.

Ῥηχὰ νερὰ, ἀντὶ τȣ, ῥηχεῖαι, τουτέσιν οἱ ὀλίγȣ βάθȣς θαλάσσιοι τόποι, διὸ καὶ τοῖς πλέȣσιν ἐπικίνδυνοι· ἐξ ὧν τινες μακρὰν ἀπέχουσι τῆς ξηρᾶς, ἄλλαι δὲ συνεχόμεναι αὐτῇ, καὶ οἱονεὶ λαιμοί τινες εἰς τὴν θάλασσαν προβαίνȣσαι, ὕφαλοι μὲν ἐν ταῖς πλημμύραις εἰσὶ, καταφανεῖς δὲ, ὅταν ἄμπωτις κατάσχῃ, ὡς παρ' Ἀῤῥιανῷ.

,, καὶ καταλαμβάνει αὐτȣ̀ς ἀνάπωτις, οὕτω τοι κρατερὴ,
,, ὥσε τρεῖς τῶν νηῶν ἐποκείλασαι, ἐν τῷ ξηρῷ ἐσχέθησαν·

„ αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι τὰς ῥηχείας, εἰς τὰ βα-
„ θέα διεσώθησαν. αἱ δὲ ταῖς ῥηχείαις ἐποκείλασαι, τῆς
„ πλημμυρίδος ἐπιγενομένης, αὖθις ἐξέπλωσάν τε, καὶ δευ-
„ τεραῖοι κατήγοντο, ἵνα περ ὁ πᾶς στόλος·

καὶ ἀλλαχοῦ.

„ ὑπὸ δὲ τὴν ἕω ἔπλεον ἔξω τῆς νήσου κατὰ ῥηχείην στενήν.
„ ἔτι γὰρ ἀνάπωτις κατεῖχεν.

Τὰς ῥηχείας καὶ ξέραις ἡ συνήθεια καλεῖν εἴωθεν ἀντὶ ξηρά.

Ῥίγανη θηλυκῶς φαμὲν, ἀντὶ τοῦ οὐδετέρως ὀρίγανον·

Ῥινὶ, ῥινίον τὸ ὑποκοριστικὸν τοῦ ῥίνη· ἐξ οὗ τὸ ῥινίζω.

Ῥιζικάρω, γίνομαι ῥιψοκίνδυνος, ἀπὸ τοῦ Ἰταλ. Rischiare.

† Ῥόγα, ἀντὶ μισθός. καὶ Κωνστ. ὁ Πορφυρογέννητος ἔφη.
„ ἐτιμήθη δὲ ἐτησίῳ ῥόγᾳ· ἐξ οὗ καὶ τὸ, ῥογιάζω δοῦλον· ῥογιάζομαι δὲ κατὰ μέσην ἐκλαμβάνεται διάθεσιν.

Ῥόκκα, ἀντὶ τοῦ ἠλακάτη, ἀπὸ τοῦ Ἰταλικοῦ Rocca. τοῦ καὶ παρ' αὐτοῖς πρὸς τοῖς ἄλλοις σημαινομένοις ἀντὶ τοῦ ἠλακάτη διὰ τὸ κωνοειδὲς αὐτῆς σχῆμα ἐκλαμβανομένου. ἢ φησιν ὁ ἀββᾶς Ἀλβέρτης ἐν τῷ αὐτοῦ λεξικῷ·

Ῥομπωτὸν, τὸ καὶ στρογγυλοκάλπακον ἰδιωτικῶς, ἀντὶ τοῦ, ῥομβωτὸν κάλυμμα τῆς κεφαλῆς, παρὰ τὸ ῥόμβος.

Ῥουθούνια, ἀντὶ τοῦ ῥώθωνες, οἱ μυκτῆρες τῆς ῥινός.

Ῥουμάζει καὶ ῥουμαίνει κακῶς φαμὲν, καλῶς δὲ παρ' ἄλλοις ὡριμάζει, παρὰ τὸ ὥριμος.

Ῥέμπαλον λέγεται κόμμα ξύλȣ ϛρογγύλον, οἷον τὸ ἐν τῷ χειρομήλῳ προσηλούμενον· ἐφʼ οὗ ἐπενοήθη τὸ τῆς χυδαιότητος αἴνιγμα τόδε· „ἡ κοιλιά σου, κʼ ἡ κοιλιά μȣ, „ κʼ ἕνα ῥούμπαλον ϛὴν μέσην· τί θέλει νὰ εἰπῇ; ἀπὸ τοῦ ῥόμβος ἴσως ἢ ἀπὸ τοῦ, ῥόπαλον.

† Ῥουτὶ, ῥουτίον λέγεται παρὰ τοῖς παρʼ ἡμῖν χωρικοῖς ὁ ἐχέσαρκος χιτὼν, τὸ ἰδιωτικῶς πουκάμισον Ῥοῦτον· πάντῃ ἄγνωϛος αὐτοῦ ἡ σημασία οὐ μόνον ἐμοί, ἀλλὰ καὶ ἄλλοις πολλοῖς, ὡς τεκμαίρομαι· ὅπερ εἰ ἔτι παρά τισι τῶν χωρικῶν ἐν χρήσει, ὡς ἐν τῇ παροιμίᾳ εὑρίσκεται, εἰπεῖν ἔγωγε οὐκ ἔχω.

„ ὁπὤχει ῥοῦτο καὶ παιδὶ, σον χορὸν μὴν κατεβῇ.

Ῥουχάζει παρὰ τὸ ῥώχειν·

†. Ῥοῖχον·

Ῥόζος, ἀντὶ τοῦ ὄζος, ὡς παρὰ Θεοκρίτῳ (εἰδ: ΙΖ).

„ τῷ δὲ σιδάρειον σκύταλον κεχαραγμένοις ὄζοις·

Ῥοιζικὸν, ἀντὶ τοῦ εἱμαρμένη, τὸ φέρον, τὸ πεπρωμένον· ἴσως παρὰ τὸ Ῥοιζεῖν, τὸ διώκειν, ἢ ὁρμᾷν, ἢ τρέχειν. ἐχρήσατο τῇ λέξει ταύτῃ καὶ Βρυέννιος (κεφ: μζ') τῶν ἑπτάκις ἑπτὰ, ὡδέπως. „ὅτι ὥραις, καὶ τύ„χαις, καὶ μοίραις καὶ Ῥοιζικοῖς, καὶ ζωδίοις, καὶ πλανή„ταις διευθύνησθαι τὸν ἡμέτερον βίον, ὡς ἀϛρολόγοι πιϛεύον„τες ἀπατώμεθα·„ καὶ ἡμεῖς φαμὲν, αὐτὸ ἦτον τὸ ῥιζικόν της· ἐξ οὗ καὶ τὸ, κακοῤῥοίζικος συνωνύμως τῷ κακόμοιρος λέγεται· καὶ ἐν τῇ παροιμίᾳ·

„ δούλευέ με κακοῤῥοίζικε, μὴ γένω σὰν κʼ ἐσένα·

Ρ῾ῶγα ςαφυλῆς, καὶ μεταφορικῶς ῥῶγα τȣ͂ βυζίȣ, ἀντὶ τȣ͂ (ἧ φησὶν Η῾σύχιος, ῥὰξ ῥανὸς ῥάγα, ἣν ἡμεῖς ῥῶγαν καλȣ͂μεν) καὶ Θεόκριτος ῥάγα ἔφη τὴν αἰτιατικὴν τȣ͂ ῥὰξ ῥαγός.

Ρ῾ωκάνι, ῥωκανίζει, παρὰ τὸ ῥωκᾷν.

# Σ.

Σαΐττα ἐξ Ἰταλῶν, ἀντὶ τῦ ἡμετέρυ βέλος.

Σακκὶ, σακκίον. καὶ Ξενοφῶν ἔφη „ἐνταῦθα δὴ καὶ δι„δάσκει ὁ κωμάρχης περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν „ὑποζυγίων σακκία περιδεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ „γὰρ τῶν σακκίων κατεδύοντο μέχρι τῆς γαστρός„ ἐξ ὗ καὶ ῥῆμα σακκιάζω.

Σακόνω παρ᾽ ἄλλοις, βαρβαρικωτέρως παρ᾽ ἡμῖν τζακόνω, ἀπὸ τῦ, σακῶσαι, πιάσαι.

Σάλι, καὶ σιάλι τὸ ὑποκοριστικὸν τῦ σίαλος· ἐξ οὗ τὸ σαλίζω ἀντὶ τῦ σιάλῳ ὑγραίνω ἐκλαμβανόμενον, καὶ τὸ κατασιαλίζω, ἀντὶ τῦ σιάλῳ μολύνω. παρὰ δὲ Ἡσυχίῳ τὸ σιαλίζω δηλωτικὸν τῦ κατασπᾷν τὸν σίαλον, ἑτέρυ ἐσθίοντος.

Σὰν, ἀντὶ τῦ ὡσὰν, καὶ ἀντὶ τῦ ὅταν· οἷον, μὴ γένω σὰν καὶ σένα, — „σὰν τῦ λάχῃ, δὲν τ᾽ ἀφίνει.

Σαχλιάζει, σήπεται, φθείρεται, παρὰ τὸ σαυχμὸν, σαπρόν.

Σελάχιον εἶδος ἰχθύος θηριῶδυς θαλασσίυ, ὠοτοκῦντος ὥσπερ ὄρνις, τετράγωνα γεμὴν καὶ πράσινα τῷ χρώματι τὰ ὠὰ αὐτῦ, σχῆμα ἔχοντα προσκεφαλαίυ. τὸ δὲ ὑγρὸν τῦ, ὠῦ, ἤγυν τὸ λευκὸν καὶ τὸ πυῤῥὸν πα-

ῥόμοια τοῖς ὀρνιθίοις. εἶδον καὶ αὐτὸν καὶ τὰ δύο ὠὰ αὐτοῦ ἐν τῇ Σεβαςοπόλει τῆς Ταυρικῆς.

καὶ ὁ λεξικογράφος Βαρῖνος φησὶ „ Σελάχη λέγεται, ὅσα ὠοτοκεῖ. καὶ Σελάχη, εἴδη θαλασσίων θηρίων.

Σέπομαι, ἀντὶ τοῦ σήπομαι, ὁ μέλλων σήψομαι, ὁ εὐκτικὸς δεύτερος ἀόριςος σαπείην. ὡς παρ' Ὁμ. (Ἰλ. τ')

„ ἐν δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπείη.

ἐξ αὐτοῦ τοῦ σαπείη καὶ τὸ τῆς συνηθείας ῥῆμα σαπίζει.

Σήκωμα, ἀνόρθωσις, ἀνέλκυσις, ὕψωσις, παρὰ τὸ, σηκόω, σηκῶσαι, ἀντισηκῶσαι, ἀνασηκῶσαι· παρενθέσει δὲ τοῦ ν σηκόνω, σηκόνω τὸ πρᾶγμα, ἢ τὸν πεσόντα, ἀνέλκω, ἀνορθῶ. σηκόνομαι ἀπὸ τὸ κραββάτι, ἀνασηκόνομαι ἀπὸ τὸν τόπον μου· προσηκόνομαι, ὑπεξανίςαμαι. σηκόνω τὸ σπήτι μου, ἀντὶ ὑψηλότερον ποιῶ. σήκωμα ἐλέγετο καὶ ὁ ἀναφορεὺς τοῦ ζυγοῦ· ἄλλο δὲ τὸ μετὰ τοῦ υ ψιλὸν σύκωμα, ὅπερ ἐςὶ πάθος, οἰδηματώδης ὄγκος ἐν σχήματι σύκου, ὡς ἐν τῷ, σύκωσις.

Σὲ δαίρω, σ' ἀγαπῶ, ἀντὶ δαίρω σε, ἀγαπῶ σε. ἐφύλαξεν ἡ συνήθεια τὴν ποιητικὴν χρῆσιν, τοῦ τῶν ῥημάτων προτιθέναι τὰς ἀντωνυμίας, κατὰ τό·

„ πάντες ἔφη νικᾶτε, μόνον μή τις σε παρέλθῃ·
„ καὶ σε καταςρέψῃ, καὶ σὲ παρατροχάσῃ·

Σῆμος, ἣν καὶ νῦν ἐςὶ κύριον ὄνομα· Σῆμος καὶ ὁ πατὴρ τῆς Σαπφῦς· ἄλλο δὲ μετὰ τοῦ ι Σίμος (παρὰ τὸ σιμὸς) καὶ ἄλλο τὸ Σίμων, ἧ φησὶ Λαέρτιος „Σίμυ ποτέ τῦ Διονυσίυ ναμείυ· — καὶ „Σίμων „Ἀθηναῖος φιλόσοφος·

Σησάμι, σησάμιον, ἀντὶ τοῦ σησάμη.

Σήτα, σήτα, ἡ πυκνοτέρα οὖσα τοῦ κοσκίνυ, ἐξ ἧς καὶ ὁ σητάνειος ἄρτος, παρὰ τὸ σήθω, κοσκινίζω·

Σίκλα, οἴνου μέτρον παρ' ἡμῖν. σίκλος δὲ εἶδος ἀγγείυ, ᾧ περ ἀνιμᾶται ἐκ τοῦ φρέατος τὸ ὕδωρ, ἤτοι ἀντλία.

Σιχαίνομαι, ἀντὶ τοῦ σικχαίνομαι, βδελύττομαι· ἧπερ Ἡσύχιος ἐξηγεῖται τὸ μυσαττόμενος, σικχαινόμενος, βδελυττόμενος, ἀποςρεφόμενος, ἐξ οὗ σικχὸς ὁ ἀηδὴς, καὶ τὸ τῆς συνηθείας, σίχαμα, τὸ βδέλυγμα·

Σιυρίζει, ἀντὶ τοῦ συρίζει. Σημείωσαι τὴν τοῦ σιυ χυδαϊκὴν προφορὰν, καὶ περιεργαζόμενος μάνθανε τὴν κατὰ τῦς ἀρχαίυς τῦ υ δασυνομένυ ἁπαλὴν προφοράν.

Σκάζω, ἀντὶ τοῦ σχάζω, σχίζομαι· ἐπὶ ἀγανακτήσεως λέγεται, ὡς τὸ σκάζω καὶ πλαντάζω, τουτέςιν ὑπὸ τῆς ἀδημονίας σχίζομαι, καὶ ἔκφρων γίνομαι· καὶ ἐν τῇ ..α: „ἂν φταίγω γ' ὼ, νὰ σκάσ' ἄνδρας μυ, καὶ ἂν „φταίγ' αὐτὸς, νὰ σκάσ' αὐτὸς·

Σκαλίζω, ἀντὶ τοῦ σκαλεύω·

Σκαλόνω, προσαρτῶ, κρεμῶ, παρενθέσει τȣ̃ ν ἀντὶ τοῦ σκαλόω. μεταφορικῶς δὲ σκαλόνω ἀντὶ τοῦ ἐμποδίζομαι. καὶ σκάλωμα λέγεται τὸ ἐμπόδιον, ἢ ἀτυχὲς συμβεβηκός·

Σκελίζω παρ' ἡμῖν, ἀντὶ τοῦ πειράζω· παρ' ἄλλοις δὲ ἀντὶ τȣ̃ ἐκτείνειν τὰ σκέλη ἐκλαμβάνεται·

Σκελεύω, φαμὲν, καὶ κατασκελεύω, οἷον τὸν ἐκατασκέλευψεν, ἀντὶ τοῦ αὐστηρότατα καὶ ἐπὶ βλάβῃ τῆς ὑγείας ἐμαστίγωσεν αὐτόν. εὕρηται δὲ παρὰ Πλȣτάρχῳ ῥῆμα, κατασκελετεύω, οὐχὶ δὲ κατασκελεύω, ὡς τὸ — „τοῖς οὐδὲν ἀξίοις κατασκελετεύȣσιν ἑαυτȣ̃ς·

Σκιάζει, ἀντὶ τοῦ φοβίζει, καὶ σκιάζομαι ἀντὶ τοῦ φοβοῦμαι, ἐκ μεταφορᾶς ἴσως τῆς σκιᾶς, φόβον ἐνίοτε ἐμποιȣ́σης τοῖς ὀλιγοψύχοις. Παρὰ δὲ τοῖς πάλαι τὸ, σκιάζομαι, σημαντικὸν ἦν τῆς ὑπὸ τῇ σκιᾷ ἀναπαύσεως, καὶ ὁ Λόγγος ἔφη „συρίττοντος „κατὰ τὸ μεσημβρινὸν, καὶ τῶν ποιμνίων σκιαζομένων.„

Σκιλλίδι, σκιλλίδια τὰ περιμήκη τμήματα, τὸ ὑποκοριστικὸν τοῦ σκελλὶς, σκελλίδος, σκελλίδες.

Σκοτόνω παρενθέσει τοῦ ν ἀντὶ τοῦ σκοτόω. κυρία σημασία τοῦ, σκοτόω, ἐστὶ τὸ ἐπάγειν τινὶ σκότος, ἢ τύφλωσιν, ἢ σκοτοδινίασιν ὡς παρὰ Σοφοκλεῖ·

„ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα·“ ἀντὶ τȣ̃ σκοτίσω· καὶ σκοτόομαι, ἀντὶ τοῦ σκότȣς καὶ ἰλίγγος πληροῦμαι, ὡς καὶ παρὰ τοῖς ἑβδομήκοντα (κριτῶν κεφ: δ') „καὶ αὐτὸς ἐξεστὼς ἐσκοτώθη, καὶ ἀπέθανεν,

ἤγουν ἐσκοτώθη πρῶτον ὁ Σισάρας ὑπὸ τῆς καιρίε πληγῆς, τουτέστιν ἐσκοτοδινίασε, ἢ ἔπειτα ἀπέθανε. ἢ Πλάτων ἔφη ,,ἐσκοτώθην καὶ ἰλιγγίασα,,

Η᾽δὲ συνήθεια τὰ νῦν ἐκλαμβάνει τὸ σκοτόνω, ἀντὶ τοῦ θανατῶ· καὶ τοῦτο γεμὴν Ὁμηρικῆς δοκεῖ χρήσεως λείψανον, κατὰ τὸ ,, σκότος ὄσσε κάλυψεν,, ἀντὶ θάνατος. διετήρησεν ὅμως τὴν κυρίαν σημασίαν τοῦ, σκοτόω, ἐν τῇ χυδαϊκῇ λέξει, σκοτοῦρα, οἷον, μοῦρθε σκοτοῦρα μεγάλη ςὸ κεφάλι, ἀντὶ σκοτοδινίασις.

Σκούζει τὸ παιδὶ, φαμὲν, καὶ ἀντὶ τε κραυγάζει, καὶ ἀντὶ τε κλαίει. Παρὰ δὲ τοῖς ἀρχαίοις ἐπὶ τῆς τῶν σκυλακίων φωνῆς ἐτύγχανε τὸ σκουζᾷν ἐκλαμβανόμενον·

Σκουλαρίκια καὶ σχολαρίκια, τὰ ἐνώτια, ὡς καὶ παρὰ Κ. τῷ Πορφ:

Σκουλλὶ, σκουλλίον σκουλλία καλεμεν τὰ τε λίνε δράγματα, τὰ πρὸς νῆσιν εὐτρεπιζόμενα, ἀντὶ σκολλὶς, σκολλίδες·

Σκεπα, τὸ κόρημα, ἀπὸ τε Ἰταλικε ſcoppa.

Σκίζομαι, σκίζομαι, ἀγανακτῶ, δυσανασχετῶ, ὀργίζομαι, δυσχεραίνω· ἐπὶ τῆς αὐτῆς σημασίας μέχρι τεδε καὶ ἡμεῖς, Ὁμηρικῶς τῷ, σκύζομαι, χρώμεθα.

(ὡς Ἰλ: θ).

σκυζομένη Διῒ πατρὶ, χόλος δέ μιν ἄγριος ᾕρει.

( καὶ Ἰλ: ω )

σκύζεσθαι, οἷ εἰπὲ, θεὺς, ἐμὲ δ' ἔξοχα πάντων
,, ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσι,

Σκύφος λέγεται παρ' ἡμῖν ἡ πάνυ σμικρὰ σκαφὶς, ἡ τοῖς βαγενίοις προσυποτιθεμένη πρὸς ὑποδοχὴν τῶν τȣ̃ οἴνȣ σαγόνων. σκύφος δὲ παρ' Ὁμήρῳ ( ὡς Ὀδ: ξ ) εἶδος ποτηρίȣ.

,, καὶ οἱ πλησάμενος δῶκε σκύφος, ᾧπερ ἔπινεν
,, οἴνȣ ἐνίπλειον.

Σοινίκι, σοινίκιον, ἀντὶ τȣ̃ χοινίκη, ἢ χοίνιξ· σοινίκιον παρ' ἡμῖν μέτρον, ᾧπερ πωλεῖται τὸ ὄρυζον.

Σȣληνάρι, ἀντὶ σωληνάριον, τὸ ὑποκοριστικὸν τȣ̃ σωλήν.

Σπαρνῶ, φαμὲν, ἀντὶ τȣ̃ μεταβαίνω ἀπὸ τόπȣ εἰς τόπον συρόμενος, ἴσως παρὰ τȣ̃ σπαράσσω. οἷον σπάραξε τὸν κῶλον σȣ ὀλίγον παρέκει. καὶ τὸ, ,, τόσον ἀδυνάτησεν, ὥστε ἀπὸ τὸν τόπον τȣ να σπαράξῃ δὲν ἐμπορεῖ. καὶ τὸ, ὅ, τι θέλεις κάμε, ἀπ' ἐδῶ δὲν σπαρνῶ.

Σπασμένον. διάφορα αὐτȣ̃ τὰ σημαινόμενα· καὶ ἐν τῇ παρ:

,, σὸ σπασμένο τὸ σακκὶ, θέλεις βάλε, θέλεις μή.

Σμποδίζομαι, παραφθορὰ τῆς πρώτης συλλαβῆς, ἀντὶ τȣ̃ συμποδίζομαι, ὀκλάζω. καὶ Δαβὶδ ( Ψαλ: ιθ' ) ἔφη.

,, αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον, ὑμεῖς δὲ ἀνέστημεν καὶ . .

Σϐλιῶται, σέλιο, ἀντὶ τϐ Συλίονες, Σύλιον· ἰδὲ ἐν τῷ τέλει τὰ περὶ ἀυτῶν τῶν Συλιόνων, καὶ τῶν Ἀλβανιτῶν ῥηθησόμενα ὑπὸ τῷδε τῷ (S) σημείῳ.

Σϐμάκι, σϐμάκιον, εἶδος Βοτάνϐ, πλατέα ἔχον τὰ φύλλα, τὸ ἐπὶ τῇ σκυτοδεψίᾳ χρήσιμον, καὶ ἐν τῇ παροιμίᾳ.

„ὅ, τι κάμνει, ἡ γίδα ςὸ σϐμάκι, κάμνει τὸ σϐμάκι ςὴν γίδαν.

Σϐμμα, ἀντὶ τϐ πληθύς, ἀπὸ τϐ Ἰταλικϐ Somma.

Σπειρὶ κυρίως ὁ κόκκος, παρὰ τὸ σπείρεσθαι. σπειρὶ μεταφορικῶς, καὶ τὸ ἐξάνθημα, ἐξ οὗ καὶ ῥῆμα σπειριάζω.

Σπήτι, ἀντὶ ὁσπήτιον, οἴκημα, ἤ φησὶ Σϐΐδας.

Σπίθα, ἀντὶ τϐ σπινθήρ.

Σπρόχνω, καὶ ἐσπρόχνω, ἀποσείομαι, μετακινῶ· ἴσως παρὰ τῆς ες προθέσεως, καὶ τϐ προχθέω.

Σταλίζϐν τὰ γελάδια, τὰ πρόβατα, ἀπὸ τϐ ςαλίζεσθαι.

Σταλίκιον ὑποκοριςικῶς ἀντὶ τϐ ςάλιξ, σκόλοψ.

Σταματῶ ἀπὸ τϐ ςῶ ῥήματος ἀχρήςϐ.

Στάμενα, οἱ φατνιζόμενοι ἵπποι, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ὁπῶχει γοργὰ ςάμενα, γοργὰ καὶ καβαλκεύει.

Στάμενα, ἴσως λέγεται κατὰ μίμησιν τϐ Ὁμηρικῶς ςατὸς ἵππος, (ὡς Ἰλ:)

„ὡς δ᾽ ὅτε τις ςατὸς ἵππος, ἀκοςήσας ἐπὶ φάτνῃ.

Στανικῶς, β. βιασμένως, παρὰ τὸ ςάνειν, τὸ ςείνεσθαι. καθὰ καὶ ςανιὸν, ἀντὶ τοῦ βία, καὶ ἐν τῇ παροιμίᾳ.

„ ἡ φακῆ μὲ τὸ ςανιό της βράζει.

Στατέρα, ἀντὶ τοῦ ςατὴρ, καὶ οἱ Ἰταλοὶ ſtadera φασί.

Σταφίδα ἀπὸ τῆς αἰτιατικῆς ςαφὶς ςαφίδος, ὡς καὶ παρὰ Θεοκρίτῳ.

(εἰδυλλίῳ λς')

„ ἁ ςαφυλὶς ςαφίς ἐςι, καὶ ῥόδον αὖον ὀλεῖται.

Στάφνη, ὁ διὰ μεμιλτωμένου σπαρτίου τεκτονικὸς κανὼν, ἀντὶ τοῦ, ςάθμη· δύο Αἰωλισμοὶ εὑρίσκονται ἐν τῷ, ςάφνη ἡ τροπὴ τοῦ θ εἰς φ, καὶ τοῦ μ εἰς ν.

Στεγνὸς ὁ ξηρὸς παρὰ τὸ ςυγνὸς, καὶ Κωνςαντῖνος ὁ Πορφυρογέννητος ἔφη. — „ ξύλα τε, καὶ δᾷδας ςεγνάς.

Στέκω, ἀντὶ τοῦ ἵςαμαι, παρὰ τὸ, ἑςήκω, ὡς παρ' Ὁμήρῳ.

(Ἰλ σ).

„ . . . . . . . . βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ,
„ σκῆπτρον ἔχων, ἑςήκει ἐπ' ὄγμου, γηθόσυνος κῆρ·

Οἱ δὲ μεταγενέςεροι ἐπὶ τῶν Μακεδονικῶν χρόνων ἀποβάλλοντες τὸ ἀρχικὸν ε τοῦ ἑςήκω, ςήκω ἔλεγον, ὡς εὕρηται καὶ παρὰ Παύλῳ τῷ ἀποςόλῳ ἐν

πρὸς Ῥωμαίους ὧδέ πως,, — ,, τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. ἡ δὲ ἐπικρατοῦσα συνήθεια συστέλλουσα τὸ στη, στέκω φησὶ, καθὰ καὶ ξερὸν ἀντὶ ξηρὸν, καὶ κερίον ἀντὶ κηρίον. χρῆται δ' αὐτῷ καὶ ἀντὶ τοῦ διάγω. οἷον δὲν στέκω, ἢ δὲν στέκομαι καλά.

Στερνάρι, ὁ πυρίτης λίθος, ἴσως παρατροπῇ τῶν συλλαβῶν ἀντὶ τοῦ στερέμνιος.

Στημόνι στημόνιον ὑποκοριστικῶς ἀντὶ τοῦ πρωτοτύπου στήμων.

Στῆλος μετὰ τοῦ η ἀντὶ τοῦ στήλη. στῆλαι ἐκαλοῦντο κωνοειδεῖς πέτραι, αἱ παρὰ τοῖς ἀρχαίοις ἔθνεσιν ἀντὶ ἀγαλμάτων εἰς τιμὴν τῶν ψευδονήμων θεῶν σεβόμεναι· ὡς καὶ παρὰ τοῖς ἑβδομήκοντα (λευϊτικοῦ κϛ')
,, οὐ ποιήσησε ὑμῖν αὐτοῖς χειροποίητα, οὐδὲ στήλην ἀναστήσητε
,, ὑμῖν, οὐ δέ λίθον σκοπὸν θήσετε ἐν τῇ γῇ ὑμῶν προσ-
,, κυνῆσαι αὐτῷ. καὶ Βασιλειῶν α', (κεφ. α') — ,, καὶ
,, ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, πλὴν οὐχ ὡς οἱ ἀδελφοὶ
,, αὐτοῦ, οὐδὲ ὡς ἡ μήτηρ αὐτοῦ, καὶ ἀπέστησε τὰς στήλας τοῦ
,, Βάαλ, ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ, καὶ συνέτριψεν αὐτάς.

Στῆλαι ἐλέγοντο καὶ οἱ ἐν τοῖς τάφοις ἐπιτιθέμενοι λίθοι.

Ὡς παρ' Ὁμήρῳ Ἰλ. π).

,, ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
,, τύμβῳ τε, στήλῃ τε. τὸ γὰρ γέρας ἐστὶ θανόντων

(καὶ Ὀδ. μ)

,, τύμβον χεύαντες, καὶ ἐπὶ στήλην ἐρύσαντες·

Στήλη παρὰ Σϐίδᾳ ἐκ ἐν τάφοις ἐπιτίθεται μόνοις, ἀλλὰ καὶ νικῶσιν ἀνίςαται, καὶ ἐπιγράμματα ἐπιδέχεται. καὶ ὁ ςηλητευτικὸς λόγος ἐκ μεταφορᾶς τῆς ςήλης, ἥ ἐςι λίθος ἢ χαλκὸς ἐπιμήκης τετραγώνῳ σχήματι ἱδρυμένος, ἐν ᾗ γέγραπται ἡ τȣ̃ ςηλιτευομένȣ ὕβρις. ςῆλαι ἔτι ἐλέγοντο, καὶ ἐν τοῖς δύο γειτόνων ὁρίοις τιθέμεναι πέτραι.

Στύλος δὲ μετὰ τȣ̃ υ ὁ κίων, ὁ ἰδιωτικῶς κολῶνα λεγόμενος·

Στάμος καὶ ςάμω καὶ ἐςι, καὶ ἦν κύριον ὄνομα, καθὰ καὶ Ἐυδοκία ἡ βασίλισσα. „Στάμος δ' ἐν τῷ περὶ Λέσβȣ„ φησί.

Στέριος κύριον ὄνομα ἀντὶ τȣ̃ ἀςέριος.

Στοιβάζω, ςοίβασμα, ὡς καὶ παρὰ τοῖς ἑβδομήκοντα κεφ. β' Ἰησȣ̃ τȣ̃ Ναυῆ. „καὶ ἔκρυψεν αὐτȣ̀ς ἐν τῇ „λινοκαλάμῃ τῇ ἐςοιβασμένῃ αὐτῇ ἐπὶ τȣ̃ δώματος.„

Στουππὶ ςουππίον, ἀντὶ τȣ̃ ςυππεῖον.

Στούπωμα, ἀντὶ τȣ̃ πῶμα, ὡς παρ' Ὁμήρῳ (Ὀδ. Β)

„δώδεκα δ' ἔμπλησον, καὶ πώμασιν ἄρσον ἅπαντας.

καὶ παρ' Ἡσιόδῳ.

„ἀλλὰ γυνὴ χείρεσι πίθου μέγα πῶμ' ἀφελȣ̃σα.

Εἰκάζειν ἔξεσιν, ὅτι ἡ χυδαϊκὴ κακορθογραφία παρὰ τȣ̃, εἰς τὸ πῶμα, συνάψασα τρία μέρη τȣ̃ λόγȣ, τȣ̃τέςι πρόθεσιν, ἄρθρον, καὶ ὄνομα, μετεσχημάτισε τὸ, ςούπωμα·

Στοίχημα, συνθήκη ἐπὶ ἄθλȣ, παρὰ τὸ, ςοίχω, συναινῶ. μνείαν αὐτοῦ ἐποίησε ὁ Θεοκρίτȣ χολιαςὴς, εἰπών.

ἐνταῦθα δὲ ἄθλον, τὸ κοινῶς ςοίχημα, ὃ λήψεται ὁ νικήσας „.

Στὴν, ςὸν, ςὸ, ἀντὶ τȣ͂ εἰς τὴν, εἰς τὸν, εἰς τό· τὸ ἐκθλίβειν τὴν ει δίφθογγον ἀπὸ τῆς εις πρoθέσεως, ἀττικῆς ἦν χρήσεως, διῃρημένως μέντοι γραφομένȣ τȣ͂ χηρεύοντος ς, καὶ μετὰ τȣ͂ πνεύματος.

ὡς παρὰ Σοφοκλεῖ (Κλυτ)

„ λαμπρᾷ γενέθλῃ ς' τὴν ςάσιν πρώτην ἄγειν.

οὐ καθὸ ἡμεῖς συνάπτοντες τὸ ἀπόλυτον ς τῷ ἑπομένῳ ἄρθρῳ, καὶ χωρὶς τῆς ψιλῆς, γράφομεν, ςὴν πόλιν, ςὸν κόσμον, ςὸ χωρίον, ἢ ἐν τῇ παροιμίᾳ. „ ποῦ πᾶς γίδα; πάγω ςὴν πόλιν. ἂν σ' ἀφήσȣν, πᾶς καὶ „ παρέκει.

Στλίβωμα παρ' ἄλλοις, κακῶς καὶ παρ' ἡμῖν σιλίβωμα, καὶ σιλιβόνω, ἀντὶ τȣ͂ ςίλβωμα παρὰ τὸ ςίλβειν.

Στόλος ὁ ναυτικός· ςόλος δὲ παρὰ τοῖς παρ' ἡμῖν χωρικοῖς εἶδος γυναικείȣ τῆς κεφαλῆς ἀναδέσμȣ, παρὰ τὸ ςέλλω, κοσμῶ.

Στουμπανίζω, ἀντὶ τȣ͂ τυμπανίζω, παρενθέσει τȣ͂ σ κατ' Αἰολικὴν χρῆσιν, ἢ χυδαϊκῇ τροπῇ τȣ͂ υ εἰς ȣ. ἐξ ȣ͂ ἐσχημάτισαι καὶ ἕτερον ῥῆμα ταυτόσημον τό,

στουμπίζω, καὶ ἐξ αὐτοῦ ὁ στοῦμπος, τὸ ἰγδιοκόπανον.

Στομόνω, ὀξύνω, παρενθέσει τοῦ ν ἀντὶ στομόω.

Στάμνα, σταμνὶ, σταμνίον παρὰ τὸ στάμνος.

Στραβὸς, στραβὸς, ὁ διεστραμμένας ἔχων τὰς ὄψεις. στραβὸν τὸ καμπὰς ἔχον, καὶ μὴ ὀρθόν. καὶ ἐν τῇ παροιμίᾳ.

„ καλὴ 'ναι ἡ νύφη μας, μόν' εἶναι στραβή.

Στραγγίζω, στραγγίζω, παρὰ τὸ στράγξ, σταγών. ταυτοδύναμον δοκεῖ μοι εἶναι τὸ στραγγίζω τῷ παρὰ τοῖς ἑβδομήκοντα στραγγιῶ, ὡς τὸ „ καὶ στραγγιεῖ τὸ αἷμα „ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου“ ἄλλο δὲ τὸ στραγγεύειν, θλίβειν, πιέζειν.

Στραγγολίζω, ἀντὶ τοῦ στραγγαλίζω.

Στράττις, στράττιδος, καὶ ἔστι, καὶ ἦν κύριον ὄνομα, ἣ φησὶ καὶ Εὐδοκία ἡ βασιλίς. „ Στράττις Ἀθηναῖος τραγικὸς“ ἐξ ἀγνοίας δέ τινες ὀλιγωροῦντες τοῦ, Στράττις, ὡς δῆθεν διεφθαρμένου ὀνόματος, λέγουσι μὲν Στράττις, γράφουσι δὲ Εὐστράτιον· ἄλλο δὲ τὸ Εὐστράτιος, ὄνομα κύριον ὄν γε καὶ αὐτό.

Στράττων ὁμοίως ἐστὶ, καὶ ἦν κύριον ὄνομα, ὡς παρὰ τῇ αὐτῇ βασιλίσσῃ „ Στράττων κωμικὸς τῆς μέσης κω„ μῳδίας“ καὶ παρὰ Λαερτίῳ — „ διεδέξατο δ' αὐτοῦ „ τὴν σχολὴν Στράττων Ἀρκεσιλάου Λαμψακηνοῦ.

Στρέγω, ἀντὶ τοῦ στέργω.

Στρίγλα, ςρίγλα.

Στρίζει Αἰολικῶς προσθήκῃ τȣ̃ σ ἀντὶ τȣ̃ τρίζει.

Στρυμόνω, πιέζω, παραγκωνίζομαι, ἀντὶ τȣ̃ ςρυμόω.

Στρομπȣ́λω λέγεται παρ' ἡμῖν, ἡ μικρόσωμος, σαρκώδης δ' ἄλλως καὶ παχέα, παρὰ τὸ ςρόμβος, ὡς ἂν εἰ ἐλέγομεν ςρογγυλόσωμος. καὶ ςρȣμπὶ πανίȣ φαμὲν, διὰ τὸ ἔχειν ςρόμβȣ σχῆμα.

Στυφὸν, ςυφὸν, παρὰ τὸ ςύφειν.

Σύγνεφον κακῶς λέγομον, ἀντὶ τȣ̃ ἁπλῶς νέφος· σύννεφος γὰρ λέγεται ὁ ȣ̓ρανὸς, ὅταν νέφεσι περιλαμβάνεται, ὡς τὸ „ εἰ καὶ σύννεφόν ποτε θεάσαιντο τὸν „ ȣ̓ρανόν.

Συγνεφιὰ, ἀντὶ συννεφία, παρὰ τὸ συννεφεῖν, συνάγειν τὰ νέφη.

Σύκωμα, καὶ σύκωσις, πάθος ὀγκῶδες ἐν σχήματι σύκȣ κατὰ τὰ μετάφρενα, καὶ ἐν ἄλλοις τριχώδεσι τȣ̃ σώματος μέρεσι γινόμενον. αὐτόπτης τȣ̃ τοιούτȣ πάθȣς γίγνομαι δὶς τῆς ἑβδομάδος, ὅτε ὁ γραμματοκομιςὴς τῆς πόςας φέρει μοι τὰ γράμματα, τοιȣ́τῳ πάθει ὁ ἀτυχὴς κατεχόμενος κατὰ τὸ μετάφρενον πρὸς τῇ ὀφρύϊ ἐν σχήματι σύκου· ὅπερ ὁ ὄγκος ὡς ᾠὸν περιςερᾶς, καὶ κρέμαται ὡσὰν σύκον.

Σῦκον ἐφ' Ἑρμῇ, παροιμία. Εἰώθεσαν οἱ πάλαι ἐθνικοὶ παριςᾶναι τὸν Ἑρμῆν ἐν διαφόροις τοῖς εἴδεσι, καί ποτε γελοίοις τε *) καὶ τερατώδεσιν, ἀναλόγως κατὰ τὰ διάφορα αὐτȣ̃ ἐπαγγέλματα, ἅπερ ἡ μυ-

Συλλογὴν κακῶς φαμὲν, ἀντὶ τοῦ συλλογισμός. συλλογὴ γὰρ ἡ σύνταξις, σύλλεξις, συνάθροισις, παρὰ τὸ συλλέγειν·

† Συμπῶ, ἀντὶ τοῦ ζωπυρῶ· καὶ ἐν τῇ παροιμίᾳ

„ σύμπα γειὰ τὸ μοναδαύλι, ὅσον νὔρθῃ τὸ τριδαύλι·

Συρμός· συρμὸν λέγομεν καὶ τὴν ἐπιδημικὴν ἀσθένειαν, δια τὸ συρομένην, ὡς εἰπεῖν, κολλᾶσθαι πολλοῖς·

Σφάκελος, σφάκελος, πᾶν τὸ ἐναντίον συμβεβηκός.

Σφαλαγγονιά, ἀντὶ φαλάγγιον, καὶ Αἰωλικῶς σφαλάγγιον·

Σφεντόνα, ἀντὶ σφενδόνη. Πρὸς ἄλλοις σημαινομένοις σφεντόνα (σφενδόνη) λέγεται καὶ τὸ τοὺς οἰνηροὺς ἀσκοὺς συῤῥάπτον σύμπλεγμα, ὡς καὶ ἐν τῇ παροιμίᾳ·

„ ὁ κόσμος ἀποτρύγαεν, τότ᾽ ἡ γρηὰ ἔπλεγε σφεντόναν·

Σφήκα, ἀπὸ τῆς αἰτιατικῆς τοῦ σφήξ, σφηκός.

Σφήκωμα, σφήκωμα, παρὰ τὸ σφηκῶ, δέω, σφίγγω· ὡς τὸ, „ ἄπλοκον ἐσφήκωσε δρακοντείῳ τρίχα δεσμῷ „ καὶ Λουκιανὸς ἔφη· καί μοι δοκεῖ Ὅμηρος διὰ τοῦτο χα-
„ ρίτεσιν ὁμοίας εἰπεῖν σου τὰς κόμας, ὅτι χρυσῷγε καὶ
„ ἀργύρῳ ἐσφήκωντο. „

καὶ ἐν τῇ παρ:

„ τρέχει στὴν Πογδόργιανην γιὰ κομμάτι σφήκωμα·

Σφήνα, ἀπὸ τῆς αἰτιατικῆς τοῦ, σφὴν σφηνός·

Σφιχτὰ φαμὲν, ἀντὶ τοῦ σφιγκτά· ὡς ἐν ἐπιγράμματι·

„Ζῶμα τοι ὦ Λατοῖ καὶ ἀνθεμόεντα κύπασσιν
καὶ μίτραν μαςοῖς σφιγκτὰ περιπλομένην
„Θήκατο Τιμήεσσα, δυσωδίνοιο γενέθλας
ἀργαλέον δεκάτῳ μηνὶ φυγοῦσα βάρος·

Σφουγγίζει, ἀντὶ σπογγίζειν. κυρία σημασία τοῦ σπογγίζειν, τὸ διαβρόχῳ καθαίρειν σπόγγῳ· ὡς παρ' Ὁμήρῳ

(Ὀν: Χ)

„αὐτὰρ ἔπειτα θρόνους περικαλλέας, ἠδὲ τραπέζας.
„ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.

(καὶ Ἰλ· σ)

„σπόγγῳ δ' ἀμφὶ πρόσωπα, καὶ ἄμφω χεῖρε ἀπομόργνυ,
„αὐχένα τε ςιβαρόν. καὶ ςήθεα λαχνήεντα.

Καταχρηςικῶς δὲ ἡμεῖς ἐκλαβάνομεν τὸ σφουγγίζειν καὶ ἐπὶ τοῦ ἀπομύττεσθαι, οἷον, σφούγγισε τὴν μύττην σȣ, οὐδεὶς γὰρ ἕινα σπόγγῳ καθαίρει·

Σφυμμὸς, ἀντὶ σφυγμὸς, ὁ παλμὸς τῆς ἀρτηρίας, ἀπὸ τȣ͂ σφύζειν·

Σφυρὶ σφυρίον, τὸ ὑποκοριςικὸν τῆς σφύρας·

Σφονδύλιον, Ὁμηρικῶς διὰ τοῦ ρ̄ ἀντὶ τοῦ σπονδύλιον, καὶ ἰδιωτικῶς σφοντύλι, τὸ τῷ ἀτράκτῳ ἐναγκυλούμενον, οὗ ἄνευ ὁ ἄτρακτος δυσκόλως περιςρέφεται· ἐξ οὗ μεταφορικῶς σφοντυλιὰ, ἀντὶ τοῦ κονδυλος, ἢ γρόνθος, καὶ ἐν τῇ παρ:

„ οὐδὲ διάβολ' ἀπαντήσῃς, οὐδὲ σφουτυλιὰ τοῦ δώσῃς·

Σφουτυλιὰ δ'ἔτι καὶ ἀντὶ σκοτοδινίασις, ἢ περιστροφὴ, ἢ περίδρομος· ὡς τὸ „ σφουτυλιὰ νὰ τὄρθῃ·"

Σκίζα, ἀντὶ σχίζα σχίζαι τὰ πρὸς τὴν ἑστίαν σχιζόμενα ξύλα, οἷς οἱ ἀρχαῖοι καὶ εἰς τὰς θυσίας ἐχρῶντο, ὡς παρ' Ὁμήρῳ

(Ὀδ: γ)

„ καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον·

Σῶκος, ἀνδρεῖος, καὶ ὁ ἐπιτήδειος· καὶ μέχρι τοῦδε παρ' ἡμῖν τοῖς Ἠπειρώταις ἐν χρήσει, καὶ κατακόρως αὕτη ἡ Ἑλληνικωτάτη λέξις· σῶκος γὰρ ἐπωνομάζετο ὁ Ἑρμῆς·

(ὡς Ιλ υ)

„ Λητοῖ δ' ἀντέστη σῶκος Ἐριούνιος Ἑρμῆς·

---

Προσθήκη εἰς τὸ Σ. 1806.

Σαβοῦρα παρὰ τὸ Ἰταλιστὶ, Savora, Ἑλληνιστὶ δὲ Ἕρμα.

Σάγισμα τοῦ ἀλόγου, παρὰ τὸ σάγη·

Σεῖς, καὶ σᾶς, ἀντὶ τοῦ ὑμεῖς, ὑμῶν, ὑμῖν. αὐτὸ τὸ δευτεροπρόσωπον πληθυντικὸν ἀντωνυμίας τῆς ἐνεστώσης ἡμῶν γλώσσης, Σεῖς, οὐδὲν ἄλλο ἐστὶν, ἢ

φησὶ Κοραῆς, εἰμὴ λείψανον τῆς ἀρχαίας διαλέκτου, ἀναλογȣμενον τοῖς ἑνικοῖς, σὺ, σοῦ, σοὶ, σὲ· μεταβληθὲν ἔπειτα σὺν προσθήκῃ Αἰολικῶς τȣ̃ φ, εἰς τὸ σφεῖς, σφᾶς·

Σιγᾷ, σιγᾷ, ἡσύχως, σιγῇ, ἠρέμα, σχολαίως· ταύτῃ τῇ ἐπιῤῥηματικῇ δοτικῇ οὐκ ἀκόμψως χρῆται ἡ συνήθεια κατὰ τὸ παρὰ Θεοκρίτῳ, παντᾷ· ἐξ οὗ ἐσχημάτισε, καὶ τὸ, σιγανὸς σιγανὴ, καὶ ἐπίῤῥημα σιγανᾷ.

Σιμόνω, πλησιάζω, παρενθέσει τȣ̃ ν, ἀντὶ τȣ̃, σιμόω, τοῦ καὶ παρὰ τοῖς ἀρχαίοις ἐπὶ πλησιότητος ἐκλαμβανομένȣ· ἐξ οὗ καὶ τὸ παρὰ Θȣκυδίδῃ μετὰ τοῦ, ἀπὸ ἐπιῤῥήματος, ἀποσιμόω, ὡς τὸ „αὖθις προσβαλόντες Ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων„ τουτέστιν ὑπαναχωρησάντων· ὥσπερ γὰρ ἁπλῶς εἶμι, πορεύομαι, συνθέτως δὲ ἄπειμι, ἀπέρχομαι, καὶ χωρῶ, προβαίνω, ἀποχωρῶ, ἀφίσταμαι, οὕτω καὶ ἁπλῶς σιμόω, πλησιάζω, συνθέτως δὲ ἀποσιμόω, ἀποχωρῶ, ὑπαναχωρῶ, ἢ ἀποκλίνω. πρὸς πλείονα δὲ τῆς τοῦ, σιμόω, σημασίας διάγνωσιν μέτιθι τὰ ἐν ταῖς εἰς Ἡλιόδωρον σημειώσεσι περὶ αὐτοῦ τȣ́τȣ εἰρημένα τῷ Φιλογενεστάτῳ Κοραῇ·

† { Σκαντζὸν, σκαντζόχοιρος
Σκαπετίζω, ἀποφεύγω· παρὰ τὸ Ἰταλιστὶ scapare.

Σκευρόνει, ἐσκεύρωσεν ἡ σανίδα·

Σκληυάδα, ἀντὶ ἐπώνυμον οἴκȣ, πατριᾶς, φυλῆς· οὐκ ἀπεικότως ὑπονοήσειεν ἄντις ταύτην τὴν χυδαϊκὴν λέξιν σχηματισθῆναι ὑπὸ τῆς νῦν συνηθείας παρὰ τὸ κλητὴ, κλητάδα, καὶ προσλήψει Αἰωλικῶς τοῦ σ σκλητάδα.

Σκοῦντρα παρ' ἡμῖν, σκόντρα παρ' ἄλλοις ἀντὶ τοῦ σκόνδρον, σφακελισμὸς, καταστροφὴ, κατασπαραγμὸς, ἢ ἄλλο τοιȣτότροπον κακὸν, οἷον, σκοῦντρα ποῦ μοῦρθε· — „σκοῦντρα νὰ τὤρθη· — „σκοῦντρα στὸ κορμίσȣ· σκόνδρον γὰρ, ἦ φησιν Ἡσύχιος, τὸ δρυπτὸν, παρὰ τὸ δρύπτεσθαι, κατασπαράττεσθαι·

Σκουτὶ, σκουτία, καὶ σκουτιὰ χυδαιοτέρως· τά τε ἐνδύματα, καὶ τὰ ἐπιδέμνια ἐπιβλήματα ἡμεῖς γενικῷ ὀνόματι καὶ σκουτία καλοῦμεν. σκȣτίον, ἴσως σκυτίον, τὸ ὑποκοριστικὸν τȣ̃ σκύτȣς. εἰκάζειν γὰρ ȣ̓κ ἀπεικὸς τὴν τȣ̃ ἐνδύεσθαι σημασίαν παρὰ τοῖς ἀρχαίοις ἡμῶν προγόνοις προκατάρξασθαι ἀπὸ τȣ̃ σκύτȣς, διὰ τὸ βίον αὐτȣ̀ς ἐν τῷ τότε ἄγριον μετερχομένȣς, καὶ τῶν τεχνῶν ἀπείρȣς ὄντας, σκύτεσιν ἐπὶ γυμνȣ̃ χρῆσθαι εἰς περιβολὴν, τουτέστι δέρμασι, καὶ δὴ καὶ ἀντὶ ἐπιβλημάτων ἐν τῷ κοιμᾶσθαι.

Προϊόντος δὲ τȣ̃ καιρȣ̃ ἡ συνήθης ἐπὶ τοιαύτης χρήσεως φωνὴ, σκύτος, σκύτη, ὑποκοριζομένη παρὰ τοῖς μεταγενεστέροις, εἰς τὸ, σκυτίον, σκυτία, καὶ μεταπεσεῖν ὑποληπτέα εἰς γενικὴν παντὸς εἴδȣς ἐν-

δυμάτων τε, καὶ ἐπιβλημάτων σημασίαν· καθὰ καὶ νῦν ἔτι παρ' ἡμῖν χυδαϊκῇ τροπῇ τοῦ υ εἰς ȣ, σκȣτία καὶ σκȣτιὰ λέγεται, οἷον, Φέρε μȣ τὰ σκȣτιάμȣ, διὰ νὰ ἐντυθῶ. καὶ — σήκωσε γλήγωρα τὰ σκȣτιὰ, τȣτέςι τὰ ἐπιδέμνια, καὶ πάςρεψε τὴν καμάραν.

† Σκονταύω καὶ σκοντάπτω, ἀντὶ τȣ ὀλισθαίνω.

Σκȣμπρίον εἶδος ἰχθύος, ἀντὶ σκομβρὶς, σκομβρίδες.

Σκύφτω, ἀντὶ τȣ κύπτω. δύο Αἰωλισμοὶ φαίνονται ἐν τῷ, σκύφτω, ἡ τροπὴ τȣ π εἰς φ, καὶ ἡ πρόσληψις τȣ σ. διατὶ δὲ ἡ ἐνεςῶσα συνήθεια ἐν ἀρχῇ τινων λέξεων προσλαμβάνει τὸ σ, καλῶς διεσάφησεν ὁ Κοραῆς ἐν ταῖς εἰς Ἡλιόδωρον σημειώσεσιν, ὧδέ πως εἰπών. „ὅτι δὲ τὰ τοιαῦτα παλαιᾶς ἐςὶ „χρήσεως λείψανα, δηλοῖ καὶ τὰ παρὰ τοῖς ἀρχαίοις διφο„ρȣμενα, κάπετος σκάπετος, κεδάζω σκεδάζω, μάραγδος „σμάραγδος, μικρὸς σμικρὸς, μίλαξ σμίλαξ, καὶ ἄλλα.

Σκάλα, ὡς καὶ παρὰ Ἡσυχίῳ, σκάλα, κλίμαξ, ἀνάβασμα.

Σκαμνὶ σκαμνίον, παρὰ τὸ Λατινιςὶ σκάμνȣμ.

Σκȣρη, Σκȣριάζει, ἀντὶ τȣ Σκωρία, Σκωριάζει· σκωρία γὰρ ὁ ἰὸς τȣ σιδήρȣ, καὶ τὸ κάθαρμα αὐτȣ· καὶ Πολυδεύκης φησί. „καὶ γῆ σιδηρῖτις, ταύτης δὲ τὸ „κάθαρμα Σκωρίαν ὠνόμαζον.“

Σκȣτέλλι, σκȣτέλλιον τὸ ὑποκοριςικὸν τῆς σκȣτέλλας παρὰ τὸ Ἰταλιςὶ scodella.

Σκόνη, ἀντὶ τȣ̃ κόνις, προσλήψει τȣ̃ σ Αἰωλικῶς.

Σοδιὰ, ἀποβολῇ τῆς ἀρχικῆς ει συλλαβῆς, ἀντὶ εἰσοδία, παρὰ τὸ εἰσοδιάζω, οὗ τὸ παθητικὸν εὕρηται παρὰ τοῖς ἑβδομήκοντα (βασιλ. δ' κεφ. 12), „πᾶν τὸ „ἀργύριον τῶν ἁγίων, τὸ εἰσοδιαζόμενον ἐν οἴκῳ κυρίȣ.„

Σουβλὶ, σουβλίον, ἀντὶ ὀβελίον, τὸ ὑποκοριϛικὸν τȣ̃ ὀβελȣ̃, παρατροπῇ δὲ τῶν συλλαβῶν, καὶ προσλήψει Αἰολικῶς τȣ̃ σ βαρβαροπαραχηματιϛθὲν ὑπὸ τῆς χυδαιότητος εἰς τὸ σȣβλίον· ἐξ οὗ καὶ ῥῆμα σουβλίζω. μαρτυρεῖ δὲ καὶ Ἡσύχιος τὴν τȣ̃ Ὀβελȣ̃, ὑποκοριϛικῶς δὲ ὀβελίσκȣ, ταὐτὸν εἰπεῖν καὶ Ὀβελίȣ χρῆσιν ȣ̓δέπως ἐξηγησάμενος „τὸ γὰρ παλαιὸν „τοὺς κακουργȣ̃ντας ἀνεσκολόπιζον, ὀξύνοντες ξύλον διὰ ῥα-„χέως καὶ νώτȣ, καθάπερ τοὺς οπτȣμένȣς ἰχθῦς ἐπὶ ὀβελίσ-„κων,„ καὶ ὀβελίας ἄρτος ἐλέγετο ὁ ἐπὶ ὀβελοῖς ὀπτώμενος·

Σουφρόνω, ἐπὶ τȣ̃ εἰς πτύχας συνάγειν τὰ ἄκρα τῶν ὑφασμάτων λέγεται· καὶ δὴ καὶ ἐπὶ σκυθρωπότητος, οἷον, ἐσούφρωσε τὸ πρόσωπόν τȣ. ἡ ἐτυμολογία αὐτȣ̃ ἔμοιγε ἄγνωϛος, ἢ ὑποληπτέον παράγωγον τȣ̃, Σύφαρ· ὥπερ ἐπὶ ὄφεως Λȣκιανὸς ἐχρήσατο ȣ̓δέπως. „ἢ τȣ ὄφεως τὸ σύφαρ, ἀμελήσαντας τȣ̃ ἑλκȣ̃· Ἡσύχιος δὲ φησὶ τάδε „σύφαρ γῆρας τὸ ὑπέρτατον· „οἱ δὲ τὸ τȣ̃ ὄφεως, καὶ τὸ ἐῤῥυτιδωμένον σῦκον, καὶ τὸ „τȣ γάλακτος τροφῶδες.„

Σουπιὰ, ἀντὶ σηπία ὡς παρ' Ἀθηναίῳ „Σηπίαι πόσȣ;

„ δραχμῆς μιᾶς τρεῖς· τῶν δὲ τὰς μὲν πλεκτάνας,
„ καὶ τὰ πτερύγια συντεμὼν ἑφθὰ ποιῶ.
„ τὸ δ' ἄλλον σῶμα κατατεμὼν πολλοὺς κύβους,
„ σμήσας τε λεπτοῖς ἁλσὶ, δειπνούντων ἅμα
„ ἐπὶ τὸ τήγανον σίζον ἐπεισιὼν φέρε·

Σπάγγος παρὰ τὸ Ἰταλιστὶ spago, ἀντὶ τοῦ ἡμετέρου σπαρτίον, σχοινίον ψιλὸν λεπτόν.

Στάνη, στάνη, στάνη τῶν προβάτων, τῶν γελαδίων, προβατοστάνη γελαδοστάνη, ἢ βουστάνη, βοοστασία, ὡς παρ' Ἡσυχίῳ.

Σταυροκοπῶ, στενοκοπιὰ, χαρτοκόπος, μεθοκοπῶ, χαροκόπος, στρατακόπος, καὶ ἄλλα τοιαῦτα ἐσχημάτισεν ἡ νῦν συνήθεια, ἢ διέξεισιν ὁ Κοραῆς, κατὰ μίμησιν τῶν τοῦ παρῳχηκότος Ἑλληνισμοῦ λέξεων, οἷον, πορνοκόπος, ἀρτοκόπος ὡς παρ' Ἡσυχίῳ.

Στερεύεται φαμὲν, ἀντὶ τοῦ στέρεται· καὶ ἐν τῇ παροιμίᾳ.

„ ὅποιος ἐντρέπεται, πολλὰ καλὰ στερεύεται.

Στιὰ, ἀντὶ ἑστία.

Σύρτης, ὁ μοχλὸς, παρὰ τὸ σύρεσθαι.

Συνάμα, ὁμοῦ, ἐν ταυτῷ, σωρηδόν. οὗτινος ἡ χρῆσις σώζετ' ἔτι παρά τισι τῶν ὁμογενῶν. μιμησώμεθα οὖν αὐτοὺς καὶ ἡμεῖς οἱ ὑπόλοιποι, ἐθίζοντες καὶ τοὺς νέους τῇ τούτου χρήσει, τῇ καὶ τῷ χαριεστάτῳ Λουκιανῷ οὔσῃ φιλίῳ, ὡς ἐν τοῖς,

„ συνάμα πολλοὶ τὰς τρικυμίας, καὶ πηδαλίων ἀποκλάσεις διεξιόντες· „ . . . — „ πρός δέ γε τοῖς ἄλλοις κἂν συνάμα κατηγορῶσι. „ . . . „ καὶ συνάμα πάντων συνειλημμένων.

Συνομήλικος διετήρησεν ἡ συνήθεια τὴν Δωρικὴν χρῆσιν τοῦ καὶ μετὰ τῆς σὺν προθέσεως ἐκφέρειν τὸ, Ὁμήλικος, ὡς παρὰ Θεοκρίτῳ (εἰδυλλ. ιή.)

„ ἄμμες γὰρ πᾶσαι συνομάλικες, αἷς δρόμος ὠυτός.

Σύσσωμα ἐπίῤῥημα, οἷον, ἐχάθη σύσσωμα, ἀντὶ ὁλοκλήρως, παντελῶς παρὰ τὴν σὺν πρόθεσιν, καὶ τὸ σῶμα, τροπῇ τοῦ ν τῆς προθέσεως εἰς σ διὰ τὴν εὐφωνίαν· καθὰ καὶ σύσσημον, σύσσιτον, καὶ ἄλλα.

Στράτα, ἀντὶ ὁδὸς, πορεία, καταχρηστικῶς λέγεται παρὰ τὸ στρατεύειν, τὸ εἰς πόλεμον πορεύεσθαι, καθόσον καὶ τὸν στρατευόμενον, καὶ τὸν ὁδοιπόρον στρατιάτην καλοῦμεν·

Σερπετός· σερπετὸν καλεῖ ἡ συνήθεια τὸν ὀξὺν τὸν εὐκίνητον, παρὰ τὸ ἑρπετὸς καὶ προσλήψει τοῦ σ κατὰ μίμησιν ἀρχαίας Αἰολικῆς χρήσεως, σερπετὸς, δίκην ἑρπετῶν τουτέστι ὄφεων εὐκίνητος. Ἔπιδι τὴν τούτου ἀνάπτυξιν ἐν ταῖς εἰς Ἡσιόδ. (σελ. 344) τοῦ Κοραῆ σημειώσεσι.

Σκυλὶ, σκυλίον, σκύλος, σκύλα. γραπτέον δὲ μετὰ διπλοῦ τοῦ λ, ὡς παρ' Ἡσυχίῳ „ σκύλλον τὴν κύνα λέγουσι, πρὸς ἀντιδιαστολὴν τοῦ, σκύλον, σκύλα τὰ λάφυρα· Ἡ τῶν μεταγενεστέρων συνήθεια ἀπέβαλε παντάπα-

σιν τὴν τȣ̃, κίων, κυνὸς χρῆσιν, ἴσως ἵνα ἀποφύγῃ τὴν προσγινομένην σύγχυσιν ὑπὸ τῆς ὁμοιοφωνίας τȣ̃ κύων, ὁ σκύλλος, κίων ὁ ςῦλος, κύων τῆς μετοχῆς τȣ̃ κύω ῥήματος, τȣ̃ διπλὴν ἐσχηκότος τὴν σημασίαν, κύω γὰρ παρ' Ὁμήρῳ, τὸ τοῖς χείλεσι φιλῶ, καὶ κύω τὸ ἔγκυος εἰμὶ, ὡς τὸ παρὰ Λȣκιανῷ. „ καὶ ταῦτα ὦ Πάμφιλε, ὁ πότε κύω μῆνα ὄγδοον ἤδη.“

Σκαρβελόνει φαμὲν ἐπὶ τȣ̃ ὅταν τις ἐπιτηδὴς ἀναβαίνῃ εἰς ἀνάντην καὶ δύσβατον τόπον, ἢ εἰς δένδρον ὑψήκομον, δραττόμενος χερσὶ, καὶ ἐπερειδόμενος τοῖς ποσὶν. οἷον, σκαρβελόνει σὰν ἡ γάττα.—

# Τ.

Ταβάνι, τάβανος, εἶδος κυνομύιας, ἐξ Ἰταλῶν, ἀντὶ τȣ̃ ἡμετέρȣ οἶςρος, μύωψ.

Τάζω Αἰολικῶς, ἀντὶ τȣ̃ κοινῶς τάσσω. τάζω φαμὲν καὶ ἀντὶ τȣ̃ ἐπαγγέλομαι, οἷον, τάζεις πολλὰ, καὶ ὀλίγα κάμνεις· καὶ ἀντὶ τȣ̃ ὑπόσχομαι, ὡς τὸ, μȣ̃ ἔταξε φέρνȣς καρβέλια. καὶ ἀντὶ τȣ̃ λογίζομαι, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ ὅταν λέ;, καὶ δὲν σ' ἀκȣ̃ν, τάξε τὸ πῶς εἶσαι ςὸ μύλο.

Καὶ ἀντὶ τȣ̃ εὔχομαι, ὡς ὅταν ἐν τοῖς παρ' ἡμῖν ςεφανάμασιν οἱ τȣ̃ γάμȣ ὑπηρέται ἀνασηκόοντες τὸν λεγόμενον νȣνὸν, ἀςεϊζόμενοι κράζȣσι, „ τάξε νȣνέ“ καὶ ὃς ἀποκρίνεται „ πέντε γυȣ̃ς, καὶ μίαν θυγατέρα.“

Καὶ παρὰ Νικολάῳ τῷ Δαμασκηνῷ εἴρηται τὸ, τάσσω, ἐπ' εὐχῆς εἰλημμένον, ᾧδέ πως εἰπόντι. „ ὁ πατὴρ δὲ αὐτῇ τιμὴν ἔταξεν, ἀνὰ πᾶν ἔτος πανήγυριν „ ἄγειν“

Τάξιμον φησὶν ἡ συνήθεια, ἀντὶ τȣ̃ τάγμα, οἷον „ ἔφερεν ἡ δεῖνα τὸ τάξιμόν της εἰς τὴν Παναγίαν ἀσημένιαν „ κανδῆλαν.

Ὅτι δὲ τῷ τάγμα, καὶ οἱ ἀρχαῖοι ἐπὶ τῆς αὐτῆς σημασίας ἐχρῶντο, μαρτυρȣ̃σιν, ἧ φησὶ Κοραῆς, ὅ, τε Ἀριςοτέλης ἐν τῷ δε, „ ἐκέλευσε (Διονύσιος) τὴν

,, βυλομένην χρυσοφορεῖν, τάγμα τε ἀνατιθέναι ἐν τῷ ἱερῷ "
καὶ Ἡσύχιος ἐν τῇ λέξει ,, εὐχὰς τάγματα. "

Καὶ δὴ καὶ τὸ παρὰ Ξενοφῶντι, εὔξασθαι τῷ θεῷ ταυτόσημον τῷ τάξαι. εἴρηται δ' αὐτῷ (Κύρ: ἀναβ. Γ΄) οὕτως.

,, Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπειδὴ περὶ σωτηρίας ἡμῶν λεγόντων,
,, οἰωνὸς τοῦ σωτῆρος Διὸς ἐφάνη, Εὔξασθαι τῷ θεῷ τούτῳ
,, θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμε-
,, θα· συνεπεύξασθαι δὲ καὶ τοῖς ἄλλοις θεοῖς κατὰ δύναμιν.
,, καὶ ὅτῳ δοκεῖ ταῦτα, ἔφη, ἀνατεινάτω τὴν χεῖρα, καὶ
,, ἀνέτειναν ἅπαντες.

Συνῳδὰ καὶ Γεράσιμος ὁ Βλάχος ἐξηγεῖται τὸ τάξομαι κατὰ μέσην διάθεσιν ,, Τάξομαι, τάσσομαι, εὔ-
,, χομαι, κατεύχομαι, εὐχὴν εὔχομαι, ἐπαγγέλλομαι τῷ
,, θεῷ.

Ταῖς φαμὲν ἀντὶ τοῦ τάς· τὰς πληθυντικὰς θηλυκὰς πτώσεις ξὺν προσθήκῃ τοῦ ι κατ' Αἰωλικὴν χρῆσιν ἐκφέροντες, οὐχ ἁμαρτάνομεν, οἷον πέτε μου ταῖς κακίαις μου, ἀντὶ κακίας, ἔλεγον γὰρ κἀκεῖνοι, ταῖς σοφαῖς, ἀντὶ σοφάς.

Τάλαρος, τάλαρον, τάλαροι, ξύλινοι καδίσκοι εἰς ἔνθεσιν διαφόρων τροφῆς εἰδῶν, καὶ ἐπὶ τῷ τυροκομεῖν χρήσιμοι. ὡς καὶ παρὰ Θεοκρίτῳ. (εἰδυλλ: η΄)

,, Σίττα, νέμεσθε, νέμεσθε. τὰ δ' οὔατα πλήσαται πᾶσαι
,, ὡς τὸ μὲν ὤρνες ἔχοντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι

Τάλαρος παῤ ἄλλοις κ̀ τὸ ὑφαντικὸν ἐργαλεῖον λέγεται. ὁ αὐτὸς δὲ Θεόκριτος καὶ τὸ κάνιςρον τάλαρον ἐκάλεσεν.

( Εἰδολλ: κ΄ )

„ Ταὶ δὲ οἱ αἶψα φάανθεν· ἔχον δ᾽ ἐν χερσὶν ἑκάςη
„ Ἀνθόδοκον τάλαρον, ποτὶ δὲ λειμῶνας ἔβαινον.

Καὶ πρὸ τέτε γε δὴ Ὅμηρος ( Ιλ: σ )

„ Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν

Ταῦλα, σανὶς, τράπεζα. Ταυλώματα ἐλέγετο καὶ τὰ διαφράγματα, τὰ ἐκ δρυὸς σανίδων καὶ ἄλλων ξύλων ὄντα κατεσκευασμένα· ἐξ οὗ καὶ ῥῆμα τῆς συνηθείας ταυλιάζω, τὸ ἐπὶ τραπέζης τι ἐκτείνω, τανύω. Τὸ δὲ παρὰ Σουΐδᾳ, τάβλα, παιδιᾶς ἐτύγχανεν εἶδος, ἣν Παλαμήδης σὺν πολλῇ φιλοσοφίᾳ εἰς διαγωγὴν ἐφεῦρε ςρατε̃.

Τέντα, σκηνὴ, παρὰ τὸ Ἰταλιςὶ tenta ἐξ οὗ ἐσχημάτισεν ἡ συνήθεια τὸ τεντίνω, ἐκτείνω, τανύω, ἁπλῶ.

†Τρελὸς, καὶ τερλὸς, ἄφρων, παλαβός·

Τεχνεύομαι, μηχανῶμαι, ἀντὶ τε̃ τεχνάζομαι.

Τζακόνω, παῤ ἡμῖν, καλῶς δὲ παῤ ἄλλοις σακόνω, παρὰ τὸ σακῶσαι, πιάσαι, κρατῆσαι·

Τζαπὶ ἡ σκαπάνη ἀπὸ τȣ̃ Ἰταλικοῦ Zappa.

Τζεκούρι, ἀξίνη, παρὰ τὸ Λατινιςὶ τε καὶ Σλαβωνιςὶ σεκήρα· καὶ ἐν τῇ παροιμίᾳ.

„ μωρὴ μὲ τὸ τζεκούρι· αὐτὴ μὲ τὸ ψαλίδι.

Τζήπουρα, τὰ ςέμφυλα, ἴσως ἀντὶ σήπουρα παρὰ τὸ σήπεσθαι, τὰ ἐκβαλλόμενα καὶ σηπόμενα.

Τζιγαρίζει, ὀνοματοποιΐα τῆς φωνῆς τȣ̃ τηγανιζομένȣ, καθὰ καὶ τὸ σίζειν. „ ἐπὶ τὸ τήγανον σίζον ἐπεισιὼν φέρε, „

Τζίκνωμα, σκυθρωπότης, ἀντὶ ζίκνωμα παρὰ τὸ ζικνῶσαι σκυθρωπάσαι, ἣ φησὶν Ἡσύχιος. τζίκνωμα μεταφορικῶς καὶ ἐπὶ ὄψȣ λέγεται, ὅταν ὑπερτηγανιζόμενον βλάπτεται, καὶ κακῶς ἀπόζει·

Τζικώρια, ἀντὶ κιχώρια, λαχανίδια ἄγρια, ἅπερ καὶ πικραλίδες παρ' ἡμῖν καλȣ̃νται.

Τζιληπουρδάει, καὶ τζιληπȣρδίζει ἐπὶ τῶν μετ' αὐθαδείας μεγαλαυχȣ́ντων, καὶ κοινῶς ἐπὶ πάντων τῶν ςρηνιαζόντων λέγεται, παρὰ τὸ σιληπορδεῖν, διαθρύπτεσθαι, ςρηνιᾶν, βλακεύεσθαι. Τζιληπούρδισμα ἀντὶ τȣ̃ σιληπορδία, ἡ ἀναιδὴς παῤῥησία, ἡ ἀχαλίνωτος γλῶσσα· καθὰ καὶ Λȣκιανὸς παίζων τὸν λεξιφάνην ἔφη — „ ἡ γȣ̃ν σιληπορδία μέγαν τὸν ψόφον ἐργάσεται, συ„νεκπεσοῦσα μετὰ τȣ̃ πνεύματος. „

Τζιȣ́φα λέγεται παρ' ἡμῖν, παρὰ τὸ Ἰταλιςὶ ciuffo, τὸ ἐν τῇ κορυφῇ τῆς κεφαλῆς κατὰ τὴν Ἀσιατικὴν

συνήθειαν μὴ ξυρούμενον τῆς κόμης μέρος, ἀντὶ τȣ̃ ἑλληνιςὶ σκολλὶς, ἢ λοφία.

† Τζύμπλα, λήμη τῶν ὀφθαλμῶν.

† Τζιμπίδι.

Τομάριον, δέρμα, τὸ ὑποκοριςικὸν τȣ̃ τόμαρον. τόμαρον δὲ κυρίως ἐλέγετο τὸ τȣ̃ ζώȣ δέρμα, τȣ̃ εἰς θυσίαν σφαγιαζομένȣ· τὰ νῦν δὲ πᾶν δέρμα τομάριον λέγεται, καὶ ἐν τῇ παροιμίᾳ „ καλὸ τυρὶ σὲ σκύλλινο τομάρι.

Τὸν, ἄρθρον. κατὰ μίμησιν δὲ ἀρχαίας ποιητικῆς χρήσεως χρώμεθα αὐτῷ, ἀντὶ τȣ̃ ὃν, ἢ ὅντινα, ὡς καὶ ἐν τῇ παροιμίᾳ.

„ τὸν ἀγαπᾷς, περίβριζε, καὶ τὸν μισᾷς, χαίρετα.

ἀντὶ ὃν ἀγαπᾷς, καὶ ὅντινα μισεῖς. Α῎ξιον σημειώσεως καὶ τὸ περίβριζε, ἀπὸ τȣ̃ πέρι, τὸ περισσῶς, καὶ τȣ̃ ὑβρίζω, χυδαϊκῇ ἀποβολῇ τȣ̃ ἀρχικȣ̃ υ, ἀντὶ τȣ̃ περιΰβριζε, κατὰ τὸ παρ' Ἡλιοδώρῳ — ὅσαπερ σέτε, κἀμὲ περιΰβρισε.

Χρώμεθα δ' αὐτῷ καὶ ἀντὶ τȣ̃ αὐτὸν, οἷον, τὸν ἀγαπῶ, τὸν θέλω, καθὰ καὶ παρ' Α'ῤῥιανῷ εὕρηται· „ ἔνθεν δὲ ἐπὶ τὸν Ε῎βρον ποταμὸν ἀφικόμενος, διαβαίνει καὶ καὶ τὸν εὐπετῶς. „

Τόρνευμα, καὶ τόρευμα, γλυπτὴ εἰκὼν, ἀπὸ τȣ̃ διφορȣμένȣ τορεύω ῥήματος, τȣ̃ καὶ παρὰ τοῖς ἀρχαίοις ἀδιαφόρως ἐκλαμβανομένȣ, ὡς παρ' Ὅμ. (Ιλ. ψ.)

„ τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλλοντο.

καὶ Πλέταρχος ἔφη — „ τῇ δὲ ἀψῖδι τῆς σφαίρας κατὰ „ κορυφὴν ἐντορεύεσιν αἴλουρον, ἀνθρώπε πρόσωπον ἔχοντα. „ καὶ Ἡλιόδορος „ ἐκείνε γὰρ ἔιναι γνωρίζω (τὸ ξίφος) „ καὶ τὸ ἐπίσημον τετὶ τῆς λαβῆς ἐλέφας εἰς ἀετὸν ἐκτετόρ- „ νευται. „

Τέτες Δωρικῶς Φαμὲν ἀντὶ τῦ τότε·

Τελέπα, τελῦπαι, τὰ τῦ ἐρίε δράγματα, τὰ ἐπὶ τῷ κλωσθῆναι ἐξασκέμενα, ἀντὶ τολύπη, τολύπαι, ὡς καὶ ἐν ἐπιγράμματι τῆς ἀνθολογίας.

„ Καὶ τάλαρον χοίνοισιν ὑφασμένον, ὅν ποτ᾽ ὀδόντων
„ ἐπλήρε τολύπη πᾶσα καθαιρομένη.

Τραβῶ, ἀντὶ τῦ ἕλκω, σύρω παρὰ τὸ Λατινιςὶ traho.

Τρανὸς, μέγας, τρανεύω ἀντὶ τῦ αὐξάνω λέγεται, παρὰ τὸ τρανῶ, δηλῶ μεγαλύνω.

Τρίβω, τρίβω, κνήθω, θλίβω, ἐκλεαίνω. ἡ Πλέταρχος ἔφη „ τῶν δὲ ἀλειφομένων τρίβειν ἕκατον ἑαυτόν. τὰ γὰρ ὑποζύγια „ χεῖρας ἐκ ἔχοντα, ἑτέρε τρίψοντος δεῖσθαι „ Καὶ Λαέρτιος „ καὶ τὴν κοιλίαν παρατριψάμενον τῦ λιμῦ παύσασθαι. Καὶ Ἡλιόδωρος „ βαρὺ δή τι πρὸς ταῦτα ἀνοιμώξας ὁ „ Ἀχιμένης, καὶ τὼ χεῖρε διατρίψας, ἐγὼ ἔφη, πικρογάμες „ θήσω σύμπαντας „ καὶ ἡμεῖς Φαμὲν ὁμοίως. ἡ ἐν τῇ παροιμίᾳ.

„ ἄλλε μὲ τρίβεις δέσποτα, κι᾽ ἄλλου ἔχω τὸν πόνον

Τρόχαλα, τρόχαλα, λεῖοι λίθοι, αἱ παρὰ ταῖς ἀκταῖς θαλασσῶν τε καὶ ποταμῶν κείμενοι. καὶ ἐν τῇ παροιμίᾳ.

Ὅλοι μὲ τὰ τρόχαλα, κὴ σὺ μὲ τὰ λιθάρια.

Τρώει, ὁμηρικῶς φαμὲν „ μὲ τρώει τὴν καρδιάν, κατὰ τ᾽,

„ οἶνος σε τρώει μελιηδὴς „ ἀντὶ τῦ τείρει, βλάπτει·

Τώρα, ἴσως παραπθορά ἐςι τῦ, αὐτῇ τῇ ὥρα.

Τζίρο, βάρβαρος παραφθορὰ τῦ γύρος, παρὰ τὸ γυρόω· τὸ γύρος, εἰς τὸ τζίρο ὑπὸ τῶν Ἰταλῶν βαρβαροπαρασχηματιθὲν, ἐν χρήσει ὡς ἐπὶ τὸ πλεῖςον παρ᾽ αὐτοῖς ἐπὶ τῆς ἐμποϱικῆς κινήσεως· καὶ ἡ τῶν πολιτζῶν καὶ Καμπιάλων ἀπὸ προσώπυ εἰς πρόσωπον κάμψις τζίρο λέγεται. καὶ δὴ καὶ οἱ ἡμέτεροι πραγματευταὶ κατὰ μίμησιν αὐτῶν χρῶνται ταύτῃ τῇ διεφθαρμένῃ λέξει.

---

## Προσθήκη.

Ταγή. ταγή, παρ᾽ Ἡσυχίῳ, βασιλικὴ δωρεὰ, ἡ σύναξις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Ταγὴν δὲ ἡμεῖς τὰ νῦν καλῦμεν μέτρον κριθῆς, τὸ ἅπαξ ἢ δὶς τῆς ἡμέρας τοῖς φατνιζομένοις ἵπποις διδόμενον, ἐξ ὗ καὶ τὸ ταγίζω, ἀντὶ τῦ τρέφω· μεταφορικῶς δὲ ταγισμένος λέγεται ὁ δωρολήπτης..

Ταξεῖδι, ταξειδιώτης, ταξειδεύω. ἔπιθι τὰς (Σελ. 296) τῦ Κοραῆ εἰς Ἡλιόδ. σημειώσεις, ἔνθα φησὶν οὕτω „ τὴν ϛρατείαν, ἤγουν τὴν ϛράτευσιν οἱ βυζαντινοὶ „ συγγραφεῖς ἰδίως ταξείδιον ἔλεγον, καθὰ καὶ τὸ ἐκϛρατεύειν, „ ἤτοι εἰς πόλεμον ἀπιέναι, ταξειδεύειν (παρὰ τὸ τῶν ἀρ- „ χαίων, τάξις, ἐξ οὗ καὶ ὁ ταξίαρχος, καὶ τὸ λειποτάξιον „ κ. τ. λ.) ἃ παραλαβῦσα ἡ νῦν ἐπικρατῦσα συνήθεια, οὐκ „ ἔτι τῆς Ἑλλάδος ἐχούσης τὸς ὑπερμαχομένυς τῆς ἰδίας ἐλευ- „ θερίας, ἐπὶ πάσης ἁπλῶς πορείας τε καὶ ἐκδημίας, ἢ ἰδι- „ αίτερον ἐπὶ τῆς θαλασσοπορείας τίθεικε„

Ταχινᾷ, ἐπιῤῥηματικὴ δοτικὴ τῆς ἀρχαιότητος, ἀντὶ τοῦ ταχέως, ὡς καὶ παρὰ Θεοκρίτῳ (εἰδηλλ. ιδ΄.)

„ ἄψορρον ταχινᾷ πέταται, βίον ἄλλον ἀγείρειν.

Καὶ Ἡσύχιος ἔφη „ ταχινοὶ γοργοὶ„ ἡ δὲ νῦν συνήθεια χρῆται ἀντὶ τῦ λίαν πρωῒ, οἷον, πολλὰ ταχινᾷ „ ἦρθες„. Ἐπὶ τῆς αὐτῆς σημασίας ἐκδέχεται καὶ τὸ, ταχινὴ, ἀντὶ τῦ ὄρθρος, λυκόφως. οἷον „ νἄρθῃς „ αὔριον τὴν ταχινὴν χωρὶς ἄλλο. Διορθωτέοι ὖν οἱ γρά- φοντες μετὰ τῦ υ ταχυνᾷ, ταχυνή. Ἔϛωσαν δὲ τῆς διορθώσεως ταύτης παραδείγματα ταυτὶ, „βραδὺ „ βράδιον, βράδιϛος· βραχὺ, βράχιον, βράχιϛος· γλυκὺ, „ γλύκιον, γλύκιϛος· οὕτω ταχὺ, τάχιον, τάχιϛος, ταχινὴ, „ ταχινῆ.

Τζαμποῦνα, τζαμποῦναι (παρὰ τὸ Ἰταλιϛὶ, Zambogna,) λέγονται οἱ ἀπὸ χλωροῦ καλάμυ αὐλοὶ, οἵτινες πρὸς τᾷ γόνατι ὑπὸ τῶν παίδων χαραττόμενοι, καὶ φυ-

σάμενοι, ἦχον ἀποτελῦσιν ἄμελον καὶ ἀγριοφωνότατον· μέμνηται ταύτης τῆς παιδιᾶς καὶ Θεόκριτος

(εἰδυλλ: έ.)

„ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι.

Ἀπ' αὐτῆς τῆς κακοφώνυ λέξεως ἐχημάτισεν ἡ χυδαιότης τὸ, τζαμπουνίζειν, ῥῆμα, φλυαρίας τε καὶ λήρου σημαντικόν.

Τζακίζω, ἀντὶ τῦ καταθλῶ, συνθλῶ, ὀνοματοποιηθὲν ὑπὸ τῆς χυδαιότητος κατὰ μίμησιν ποιῦ ἤχυ, κτύπυ, οἷον τὰκ, καὶ βαρβαροφώνως τζάκ — („ἄλλυ γὰρ, ἡ φησὶ Κοραῆς, ἄλλως μιμυμένυ, καὶ μη„δενὸς κατατυγχάνοντος τῇ μιμήσει, ἀνεξέλεγκτα καὶ τὰ τῦ „σχηματισμῦ) τὸ γὰρ καταθλώμεον ἄνευ ποιῦ ἤχυ οὐ γίγνεται. ἐὰν δὲ ἀποσκορακίσαντες τὸ βάρβαρον τζα, ἐθίσωμεν τὺς νέυς σὺν μόνῳ ἐκφέρειν τῷ τα, οὐκ ἂν ἄχαρις δόξῃ ἡ τῦ τακίζω χρῆσις.

Τζέφλοιον καὶ τζώφλοιον, ἀντὶ τῦ ἐξώφλοιον, τὸ ἔξω τῦ φλοιῦ, ἡ ἐπιδερμὶς, τὸ λέπος.

Τζοκανίζω, ἀντὶ τῦ κρύω τὴν θύραν. μεταποιητέον καὶ αὐτὸ εἰς τὸ τοκανίζω.

Τζίντζιφον, ἀντὶ ζίζιφον,

Τράφος, τράφος λάκος, ἡ φράγμα.

Τζεγκρίζω· ὦ τῆς βαρβάρε παραφθομᾶς τε̃, συγκρούω,

Τραυλὰ, τραυλὸς, τραυλίζει· καὶ Θεόκριτος ἔφη.

„ Κόσσυφοι ἀχεῦσι ποικιλότραυλα μέλη.

Τζαλαπατῶ, ἀντὶ τε̃ καταπατῶ, παρὰ τὸ λὰξ πατῶ, ἢ λακπατῶ, βαρβάρῳ παρατροπῇ τῶν ςοιχείων· ζήτει ἐν ταῖς εἰς Ἡλιόδωρον τε̃ Κοραῆ σημειώσεσι (σελ: 20) τὴν τέτε ἀνάπτυξιν.

Τζεκνίδα παρ' ἡμῖν, τζηκνίδα καὶ ἀτζηκνίδα παρ' ἄλλοις ἡ ἁπλῶς κνίδη. Δύω εἴδη τῆς κνίδης, ἓν μὲν μικρὰ ἔχον τὰ φύλλα, κνίδη ἁπλῶς ἐλέγετο· δεύτερον δὲ τὸ μεγάλα ἔχον τὰ φύλλα, καὶ ὀξύτερον κεντε̃ν καὶ κνίζον τὲς ἁπτομένες, ἀκηκνίδη ὠνόμαςαι παρὰ τὸ ἀκὴ ἡ ὀξύτης, καὶ τὸ κνίδη· παρατροπῇ δὲ τε̃ κη εἰς τζη ἀτζηκνίδα, καὶ τζηκνίδα.

Τροχάω, φησὶν ἡ παρ' ἡμῖν, συνήθεια, ἀντὶ τε̃ ὀξύνω· οἷον τροχάω τὸ μαχαίρι, ἀδιαφόρως ἐκφέρεσα, εἴτε ἀκόνῃ, εἴτε ἐπὶ λιθίνε τροχε̃ τελεῖται ἡ ὀξύτης· ἄλλοι δὲ καλῶς, τὸ μὲν ἀκόνῃ ὀξύνειν τὴν μάχαιραν, ἀκονίζω φασὶ, τὸ δὲ ἐπὶ τροχε̃, τροχίζω. Λεγέτωσαν ε̃ν καὶ οἱ ἡμέτεροι ἀκονίζω, καὶ τροχίζω, ὅτι τὸ τροχάω σημαντικὸν τε̃ σπεύδειν, ἢ τρέχειν.

Τρομέω, καὶ Τρομῶ, καὶ τοῦτο παραφθορὰ τοῦ, τολμάω, τολμῶ.

Τρύμματα, ἀντὶ τοῦ θρύμματα· τρυμμόψιχαις, αἱ τῶν θρυμμάτων ψίχαι.

Τέμπλα παρ' ἡμῖν ἀντὶ τοῦ δοκός.

Ταράζω Αἰωλικῶς φαμὲν, τοῦ κοινῶς ταράσσω, τὰ δύο σσ εἰς ζ ἐναλλάσσοντες.

Τινάζω, σείω ταράττω, ἀντὶ τοῦ τινάσσω.

# Υ.

Υ῾άλινον καὶ γυάλινον. Τῶν ἀπὸ φωνήεντος ἀρχομένων λέξεων πολλὰς ἡ συνήθεια κατ᾽ Αἰωλικὴν χρῆσιν καὶ σὺν τῷ γ ἐκφέρει, οἷον, γυιὸς, γιατρὸς, γεράκι, γιωμένον, γυνὶ τὸ τοῦ ἀρότρου σιδήριον, καὶ ἄλλα, ἀντὶ τοῦ υἱὸς, ἰατρὸς, ἱεράκιον τὸ ὑπ: τοῦ ἱέραξ, ἰωμένον, ὑνίον τὸ ὑποκοριστικὸν τοῦ ὕνις. ἔλεγον γὰρ Αἰωλεῖς, γοῖνος, γύδωρ, γέαρ, ἀντὶ τοῦ οἶνος, ὕδωρ ἔαρ.

Υ῾γρὸν, ὑγρότης, ἅπερ χυδαΐζοντες ὀγρὸν, καὶ ὀγρότης φαμέν. ὑγρὸν πῦρ, ὡς παρὰ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ.

„ Ι῾στέον ἔτι, ὅτι ἐπὶ Κωνσταντίνου υἱοῦ Κωνσταντίνου, τοῦ καὶ „ Πωγωνάτου Καλλίνικός τις ἀπὸ *) Ἡλιουπόλεως Ρ῾ωμαίοις προ- „ σφυγὼν, τὸ διὰ τῶν σιφόνων ἐκφερόμενον πῦρ, ὑγρὸν κα- „ τεσκεύασε· δι᾽ οὗ καὶ τὸ τῶν Σαρακηνῶν στόλον ἐν Κυζίκῳ „ Ρ῾ωμαῖοι καταφλέξαντες, τὴν νίκην ἤραντο.

Καὶ ὁ Κεδρινὸς „ αὐτός ἐστιν ὁ τὸ θαλάσσιον ἐφευρὼν πῦρ.

Υ῾σκα, ἴσκνα, τὸ ἔναυσμα.

*) Ἡλιούπολις, Ἀραβιςὶ Μπαλμπέκ· ταυτόσημα ταυτὶ τὰ ὀνόματα· Μπὰλ γὰρ Ἀραβιςὶ ὁ Ἥλιος, καὶ Μπὲκ πόλις. Καὶ κεῖται ἡ Ἡλιούπολις αὕτη ἐν τῇ Κοίλῃ Συρίᾳ πρὸς ταῖς ὑπωρείαις τῦ Ἀντιλιβάνυ ὄρυς, ἔνδοξος τὸ πάλαι χρηματίσασα, καὶ εὐδαίμων· τὰ νῦν δὲ ἐρείπιόν ἐςι, καὶ κατὰ τὰ προάςεια μόνον κατοικουμένη ὑπὸ πάνυ ὀλίγων, ἐνδεεςάτων τε, καὶ ἀγροικοτάτων Φοινίκων· Ἐν αὐτῇ τῇ πόλει ἐκτίσθη ὑπὸ τῦ αὐτοκράτορος Ῥωμαίων Ἀντωνίνυ τῦ ἐπονομασθέντος εὐσεβοῦς ὁ πολυτελέςατος καὶ περίφημος ναὸς θεοῦ Ἡλίου (Ἀραβιςὶ Μπὰλ τῦ παρὰ τοῖς ἑυδομήκοντα Βάαλ). Τούτυ τῦ ναοῦ τὰ ἔτι σωζόμενα μεγαλοπρεπέςατα ἐρείπια θάμβος ἀποτελοῦσι τοῖς περιηγηταῖς.

Πατρὶς ἐχρημάτισεν ἡ Ἡλιούπολις καὶ Φιλίππυ τῦ αὐτοκράτορος Ῥωμαίων ὅςις αὐτὴν ἐτίμησεν ἄλλοις τε προνομίοις, καὶ τῷ ἀποικίαν Ῥωμαίων αὐτὴν ὀνομάζεσθαι, ὡς τὰ σωζόμενα αὐτῦ νομίσματα μαρτυρεῖ, ἔχοντα ἐπιγραφὰς τάσδε. I. O. M. H. τυτέςιν. Iovi opti„ mo maximo Heliopolitano. — „COL I. HEL. „τουτέςι. Colonia Iulia *) Heliopolis·

*) Αὐτὸς γὰρ ὁ αὐτοκράτωρ πρὸς τῷ ἰδίῳ (ὡς ἔθος ἦν τοῖς τῶν Ῥωμαίων Βασιλεῦσι) προσέλαβε καὶ τὰ τῶν προβασιλευσάντων Μάρκυ, καὶ Ἰουλίυ ὀνόματα, ἐπονομασθεὶς Μάρκος Ἰούλιος Φίλιππος.

Ἐπὶ Ἰουλιανȣ̃ τȣ̃ παραβάτȣ οἱ Ἡλιȣπολῖται, εἴτε κατὰ τυραννικὴν αὐτοῦ ἐπιτροπὴν, εἴτε ἀφ' ἑαυτῶν, μέγαν κατὰ τῶν Χριστιανῶν ἐκίνησαν διωγμὸν, οὗ μέμνηται καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῷ πρώτῳ στηλιτευτικῷ ὡδέπως

,, Τίς ἀγνοεῖ τὴν Ἡλιȣπολιτῶν συστροφήν.

Γεννήματα κάλλιστα καὶ θρέμματα τῆς Ἡλιουπόλεως ὑπῆρξαν ὅ, τε χαριέστατος Ἡλιόδωρος ὁ τὰ Αἰθιοπικὰ συγγραψάμενος, καὶ ὁ εἰρημένος σοφὸς Καλλίνικος· ὥστε ἐκ τȣ́τȣ πιστώσασθαι ἔχομεν, ὅτι καὶ μέχρι τῶν τȣ̃ Καλλινίκου χρόνων ἤκμαζον ἔτι αἱ ἐπιστῆμαι ἐν τῇ Φοινίκῃ.

Περὶ αὐτῆς τῆς Ἡλιουπόλεως οὐδεμία μνήμη παρὰ τοῖς Βυζαντινοῖς ἱστορικοῖς. Ὁ δὲ ἐλλογιμώτατος Ἀγγλικὸς περιηγητὴς Βούττας ἐπιλέγει περὶ αὐτῆς τε καὶ τȣ̃ ναȣ̃ ἀποσημειώσεις τινὰς Ἰωάννȣ τινὸς Ἀντιοχέως, μὴ προσειπὼν τίς, καὶ πότε ἤκμασεν αὐτὸς ὁ Ἰωάννης.

Περὶ δὲ τῶν ἐν αὐτῇ σωζομένων θαυμασίων Ἐρειπίων τȣ̃ ναȣ̃ θεȣ̃ Ἡλίȣ αὐτὸς ὁ Βούττας, καὶ ὁ Γαλλικὸς φιλόσοφος καὶ περιηγητὴς Βολνέης γράφȣσιν ὡς ἐνθουσιῶντες ἀμφότεροι, ἐκθειάζοντες τὴν θαυμασίαν καὶ ἄνευ ἀσβέστȣ προσφυεστάτην ἁρμογὴν τῶν μεγίστων μαρμάρων, τήν τε μεγαλειότητα, καὶ τὸ κάλλος τῶν κιόνων, καὶ τὴν Κορινθιακὴν ποικιλίαν, χάριν τε, καὶ τόρνευσιν κιονοκράνων, στεφάνων, ζωνῶν, προτειχισμά-

των, καὶ τὴν ἐπὶ πᾶσιν ἔσωθέν τε καὶ ἔξωθεν ἀρχιτεκτονικὴν ἐντέλειαν καὶ μεγαλοπρέπειαν αὐτἕτε τἕ ναἕ, καὶ ἄλλων τῶν πρὸς αὐτῷ καὶ περὶ αὐτὸν κτισμάτων, καὶ δὴ καὶ τῆς ςοᾶς.

Οἱ αὐτοὶ περιηγηταὶ προσιςοροῦσιν ὅτι συνέχονται τῷ ναῷ ἐρείπιόν τε ἐκκλησίας Χριςιανικῆς, καὶ ἕτερον προσευχῆς κτίριον τῶν Σαρακηνῶν· καὶ ὅτι αὐτοὶ οἱ Βάρβαροι ἐν τοῖς μεταξὺ αὐτῶν ἐμφυλίοις πολέμοις ἐχρήσαντο τῷ ναῷ καὶ ὅσα φρουρίῳ, καὶ τῶν πολεμικῶν ἀποσκευῶν ἀποθήκῃ. Προσέτι χαριεντιζόμενοι διηγἕνται τὴν ὑπερβάλλουσαν ἀμάθειαν καὶ βαρβαρότητα τῶν νῦν τῆς Φοινίκης κατοίκων, καὶ τὴν ἐπὶ τοῖς μεγέθεσι τῶν μεγίςων μαρμάρων καὶ κιόνων τοῦ ναἕ γελοίαν αὐτῶν δοξασίαν, ὅτι τὰ (τζενἕν) ἐνναέρια πνεύματα κατ᾽ ἐπιτροπὴν Σολομῶντος τἕ σοφἕ ἀνέλκοντα ἀπὸ τῆς γῆς, ἐναπετίθεν αὐτὰ καὶ προσήρμοζον ἐν τῷ κτίσματι.

# Φ.

Φάϐνος, ἀντὶ Φαῦνος Σατυρικὸς Δαίμων, ὀπαδὸς Διονύσϐ. Ὁ Νόννος περὶ Φαύνϐ ἔφη τάδε.

,, Τοῖς ἔπι Φαῦνος ἵκανε, περισφρηγισον ἐάσας.
,, Ἰταλίης διλόφοιο Πελωρίδα πέζαν Ἐρίπνης.
,, Τὸν βυθίῳ Κρονίωνι συναπτομένη τέκε Κίρκη.

Φάγωσα, ἀντὶ φάγαινα, ἑλκῶδες πάθος.

Φάβα, φάβα· καὶ ἐν τῇ παρ: ,, κάτι λάκον ἔχ' ἡ φάβα.

Φαμιλία, ἐξ Ἰταλῶν, ἀντὶ τϐ Ἑλληνιςὶ, πατριὰ φυλή.

Φαντασία λέγεται νῦν, ἀντὶ τϐ ἔπαρσις, ὑπεριφάνεια. φαντασία δὲ κυρίως, ἤ φησι Σϐίδας, ἐςὶ ψυχῆς κίνησις ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. καὶ φαντάζομαι φαμὲν ἀντὶ τϐ ἐπαίρομαι. Οὐμὴν ἀλλὰ καὶ παρ' Ἡροδότῳ εὕρηται τὸ φαντάζομαι ἐπὶ ὑπερηφανείας εἰλημμένον.

† Φαρδὺ, φάρδος, φαρδαίνω, ἀντὶ τϐ πλάτος, πλατύνω.

Φαρμάκι, ἀντὶ τϐ δηλητήριον φάρμακον· ἰςέον ὅτι παρὰ τοῖς πάλαι τὸ φάρμακον μέση ἦν λέξις ἐπί τε ἀγαθϐ καὶ κακϐ ἐκλαμβανομένη· τὰ νῦν δὲ ἐπὶ κακϐ μόνον λέγεται.

Φασκιὰ, φασκία, ἀπὸ τῦ Ἰταλικῦ fascia, ἀντὶ τῶν ἡμετέρων, κειρία, ςρόφιον, λωρίς. φασκίαι καὶ τὰ τῶν νεογνῶν σπάργανα. Φασκίαι καὶ αἱ τῶν δερμάτων πλατεῖαι λωρίδες. καὶ φασκιόνω, ἀντὶ σπαργανῶ ἀπὸ τῦ fasciare.

Φέρτε καλῶς φαμὲν κατὰ συγκοπὴν Ἰωνικὴν ἀντὶ τῦ κοινῦ φέρετε, ὡς παρ' Ὁμήρῳ (Ἰλ. ι.)

„Φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαι τε κέλεσθε.

Φηκάρι, φηκάριον, ἀντὶ θηκάριον, τὸ ὑποκορ: τῆς θήκης.

Φιλάγριος Ἠπειρώτης ἰατρὸς μετὰ Γαληνόν.

Φιλεύω, ἀντὶ τῦ φιλέω, φιλοφρόνως ξενοδοχῶ, ἑςιῶ, συμποσίῳ φιλοφρονῦμαι. Τὰ νῦν τὸ φιλεύω σημαντικὸν μόνον τῦ, συμποσίῳ φίλυς φιλοφρονῦμαι, ἐξ ῦ καὶ φιλιὰ τὸ συμπόσιον. Φιλεύομαι, ἀντὶ φιλέομαι ὡς παρ' Ὁμήρῳ φιλήσεαι, ἀντὶ φιλήσῃ, ξενοδοχικῶς φιλοφρονηθήσῃ.

(Ὀδ. α)

„Χαῖρε ξεῖνε, παρ' ἄμμι φιλήσεαι, αὐτὰρ ἔπειτα
„Δείπνυ πασσάμενος, μυθήσεαι, ὅττεό σε χρή.

(καὶ Ὀδ. Ξ.)

„Ἔνθ' Ὀδυσσῆος ἐγὼ πιθύμην. κεῖνος γὰρ ἔφασκε
„Ξεινίσαι, ἠδὲ φιλῆσαι ἰόντ' ἐς πατρίδα γαῖαν.

Φλασκὶ, φλασκίον, τὸ ὑποκοριςικὸν τῦ, φλάσκος, εἶδος οἰνηρῦ ἀγγείυ, ἐξ ῦ οἱ Ἰταλοὶ ἐσχημάτισαν τὸ παρ' αὐ-

τοῖς, Fiasco, κατὰ τὲς τῶν Ἡρακλειωτικῶν παλαιστήτων (Ταυ. 47. tom. 2. de Bronzi) χολιασὰς, ὠδέπως ἱςορῦντας. „E da' Greci posteriori, Φλάσκον, donde l' Italiano fiasco.

Καὶ ἐν τῇ παροιμίᾳ.

„πότε πῆττα καὶ φλασκὶ, πότε πῆττα μοναχή„

Φλόκος, ἀντὶ πλόκος κατὰ μετάπτωσιν Αἰωλικῶς τῦ π εἰς φ.

† Φλωρὶ, φλάμπερον, φυντωμένον, φῦντα, φυκάλι.

Φῦρνος ἐξ Ἰταλῶν. ὁμοίως καὶ τὸ φυρκίζω, ἀνασκολοπίζω.

Φύσκα ἡ ὐροδόχος κύςις, ἀντὶ τῦ φύσκη. καὶ ῥῆμα φυσκόνω τὸ ἀσκὶ, ἀντὶ φυσῶν, πνεύματος αναπληρῶ· καθὰ Ξενοφῶν ἔφη. „ἃ ἀποδαρέντα, καὶ φυ„σηθέντα, ῥαδίως ἂν παρέχοι την διάβασιν„ φουσκωμένος μεταφορικῶς ὁ ὑπερήφανος, ἀντὶ τῦ πεφυσιωμένος, κενόδοξος.

Φράζω, φράζω, ἀντὶ φράσσω. τὸ φράζω γὰρ σημαντικὸν τῦ λέγω, ἑρμηνεύω, καὶ τῦ ποιητικῶς σκέπτομαι.

Φτενὸς, φτενὴ, φτενὸν, λεπτὸν, μεταφορικῶς ἀπὸ τῦ πτηνὸν (τὰ γὰρ πάνυ λεπτὰ καὶ ὑπὸ μικρᾶς πνοῆς πετῶνται) Αἰωλικῇ τροπῇ τῦ π εἰς φ, καὶ κατὰ συςολὴν πτενὸν, φτενὸν.

Φτέρη, ἀντὶ φτέρις Αἰωλικῶς, πτέρις κοινῶς, εἶδος βοτάνης πτερῷ Στρουθοκαμήλυ ὁμοίας. ἀφ' ἧς καὶ ςιβαδοποιῦσιν οἱ χωρικοὶ.

Φτήνια, ἀντὶ τῆ εὐθηνία.

Φρίζω, ἀντὶ φρίσσω. ἐξ ἧ Φρίξις ὁ πολὺς φόβος.

Φυσένι, φυσένιον τὸ ὑποκορ: τῆς φύσης (ὡς Ἰλ. σ)

„ Φῦσαι δ᾽ ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων.

„ παντοίην εὔπρηςον ἀϋτμὴν ἐξανιεῖσαι.

Φυσάει ἀέρας, Ὁμηρικῶς φαμὲν,

(ὡς Ἰλ. ψ)

„ Παννύχιοι δ᾽ ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ᾽ ἔβαλλον

„ φυσῶντες λιγέως. . . . . . . .

Φώλι, φώλιον, τὸ ἄγονον ἢ ἀδόκιμον ᾠὸν, τὸ ἐν τῇ φωλεᾷ ἐσαεὶ κείμενον. ἢ ὁ ποιητὴς τὸ ἄγονον ἀποφώλιον ἐκάλεσεν.

(ὡς Ὀδ. λ. ς. 248.)

„ Τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ

„ Ἀθανάτων. . . . . . . .

---

## Προθήκη.

Φταρνίζομαι, φταίω, Φταίςης, Φτερὸν, Φτύω, Φτυάρι, Φτωχὸς, φτώχεια, καὶ ἄλλα ἀπὸ τῆ, πτ. ἀρχόμενα Αἰωλικῶς ἡ συνήθεια διὰ τῆ φτ ἐκφέρει, ἀντὶ τῆ κοινᾶς πταρνίζομαι, πταίω, πταίςης, πτερὸν, πτύω, πτυάριον, πτωχὸς, πτωχεία.

Φτιάνω, ἢ φτιάζω, ἀντὶ τῆ, ἢ φισὶν ὁ Κοραῆς εὐθειάζω.

Φιτίλι, φιτίλιον, βαρβαρικὴ ἡ λέξις, ἐν χρήσει μέντοι ἐξ ἀτυχίας παρὰ πᾶσι τοῖς ἡμετέροις ὁμογενέσιν, ἀντὶ τῆ Ἑλληνιςὶ θρυαλλὶς, ἢ ἐλλύχνιον, ὅπερ καὶ

μύξα ἐλέγετο, καθὰ λύχνος δίμυξος, τρίμυξος πολύμυξος.

καὶ ἐν τῷ ἐπιγράμματι.

„Τῷ με Κανωπίτα Καλλίςιον εἴκοσι μύξαις
πλούσιον ἡ Κριτίȣ λύχνον ἔθηκε θεῷ,
„Εὐξαμένα περὶ παιδὸς Ἀπελλίδος. ἐς δ' ἐμὰ φέγγη
Ἀθρήσας φήσεις, ἕσπερε πῶς ἔπεσες;

**Φόρεμα** τὸ ἔνδυμα, παρὰ τὸ φορῶ· ὅπερ παρὰ τοῖς πάλαι πολυσήμαντον ἦν, τὰ νῦν δὲ ἐπὶ ἐνδύσεως μόνον ἐν χρήσει, οἷον φορεῖ καλὰ φορέματα, κατὰ τὸ παρὰ Λȣκιανῷ,

„Τοιοῦτο μέντοι πρὸ σȣ͂ πρόβατον ἐφόρει.

# X.

† Χαϊδεύω, ἀντὶ τȣ̃ θέλγω, σαίνω, καὶ ἐν τῇ παροιμίᾳ.

,, χάϊδια ἀνάλατα, κȣκκιὰ βρεμένα.

Χαλεύω, ἀντὶ τȣ̃ ἐρευνῶ, ζητῶ ἰχνέυων τὸ ἀπολωλὸς ἢ τὸν ζητȣ́μενον. ταυτοσήμαντον τὸ χαλεύω τῷ παρὰ τοῖς ἀρχαίοις χατεύω· πιθανώτερον δ' εἰπεῖν ὅτι μία καὶ ἡ αὐτή ἐςιν ἡ λέξις, κατὰ χυδαϊκὴν δὲ μετάπτωσιν τȣ̃ τ εἰς λ μετασχηματισθεῖσα εἰς τὸ χαλεύω· καθὸ ἡ συνήθεια χυδαΐζȣσα, καὶ ἀντὶ τȣ̃ ἀμέλγω, καὶ χρεμετίζει, καὶ κόλπος, καὶ κτενίζω, ἀρμέγω λέγει, καὶ χλεμιτέζει, κόρφος, καὶ χτενίζω, καὶ ἄλλα πολλά. καὶ ἐν τῇ παροιμίᾳ.

,, πραγματευτὴν ἐχάλευα, καὶ κομμερκιάρην ηὗρα.

Χαλίκιον, χαλίκια, μικροὶ λίθοι, ἀντὶ χάλιξ, χάλικες· ὡς παρὰ Θȣκυδίδῃ. — ,, ἐντὸς δὲ ȣ̃τε χάλιξ, ,, ȣ̃τε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι.

Χαλνῶ, παρενθέσει τȣ̃ ν ἀντὶ τȣ̃ χαλῶ, ταπεινῶ, ἐκλύω, παραλύω, ὡς καὶ Πλȣ́ταρχος ἔφη ,, μηδὲν ,, ἐνδȣ̃ναι, μηδὲ χαλάσαι τῆς ἐξȣσίας ἐπὶ τὸ δημωτικὸν ἐθελήσαντες.

καὶ παρ' Εὐριπίδῃ.

„ Μῆτερ πιθοῦ μοι, καὶ σὺ παῖ Λαερτίου
„ χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.

Πολλὰ καὶ παρὰ τῇ συνηθείᾳ τὰ τοῦ χαλνῶ σημαινόμενα· οἷον, χαλασμένο καὶ ἀντὶ τοῦ ἐρείπιον, καὶ ἀντὶ τῆς κακῆς καταστάσεως „ διὰ τὸ δικόσου τὸ χατίρι ἐγὼ δὲν χαλνῶ τὸ σπήτι μου, τοὐτέστι τὴν καλοκατάστασίν μου. θέλεις νὰ τὰ χαλάσωμεν; μᾶς λὲν χαλασμένους· κύτταξε μὴ τὰ χαλάσωμεν, ἀντὶ τοῦ, μὴ εἰς ἔχθραν ἀποκαταστησώμεθα. χαλάστρα, χαλαστὴς ὁ φθορεὺς, καὶ ἄλλα.

Χάμου ἀντὶ τοῦ χαμαί· ἐξ οὗ ὑποληπτέον τὸ χαμηλόνω.

Χαράματα, ἀντὶ χαράγματα, καὶ χαραγὴν καλοῦμεν τὸ αὐγερινὸν φῶς τῆς ἡμέρας, παρὰ τὸ χαράσσειν. οἷον, νἄρθῃς στὰ χαράματα. — „ ἦρθε πολλὰ πουρνὸ στὴν χαραγὴν „ σὰν χαράξῃ, νὰ κινήσωμεν.

Χάρος παρ' ἡμῖν κύριον ὄνομα, καὶ χάρος ὁ θάνατος.

ὡν ἐν ταῖς παροιμίαις.

„ Ο' φτωχὸς πλουταίνωντας, ἔλα χάρε κ' ἔπαρέτον.
„ Τοῦ χάρου νερὸ κουβαλεῖ.
„ Τ' ἔδωκεν ὁ θεὸς, καὶ τί νὰ πάρ' ὁ χάρος.

ἀντὶ τοῦ χάρων τροπῇ τοῦ ων εἰς ος, καθὰ καὶ ἄλλα· οἷον, δράκος, ἄρχος, γέρος, ἀντὶ δράκων,

ἄρχων, γέρων,, Τὴν τοιαύτην διφορίαν, εἴτε ἀπὸ κλίσεως
,, εἰς κλίσιν μετάπτωσιν, ἧ φησὶ Κοραῆς, ὀυδὲ ἡ ἀρχαία
,, φωνὴ ἠγνόηκεν, ἐπίλησμος, κευθμὸς, πῖος λέγυσα, ἀντὶ
,, ἐπιλήσμων, κευθμὼν, πίων.

Χαραματιὰ ἀπὸ τῦ χαραμός.

Χειμαδιὸν, ἀντὶ χειμάδιον, τόπος πρόσφορος ἐν χειμῶνι·

Χειμάρα, ἀντὶ Χειμέριον μοῖρα Θεσπρωτίδος, ὡς παρὰ Θυκ. ,, ὁρμίζονται εἰς Χειμέριον τῆς Θεσπρωτίδος γῆς.

Χέῤῥια παρὰ τὸ αἰωλικῶς χέῤῥες, ὡς παρὰ Θεοκρ. εἰδ. 34.

,, δῶρον Νικίας ἐς ἀλόχω χέῤῥας ὀπάσσομεν.

Χήνα ἀπὸ τῆς αἰτιατικῆς τῦ χὴν χηνός. πληθυντικῶς δὲ λέγομεν χῆνες, καὶ οὐ χῆναι.

Χλιὸν, παραφθορὰ δοκεῖ εἶναι τῦ χλιαρὸν.

† Χνότα λέγονται οἱ ἐκ τῦ ςομάχυ ἀναδιδόμενοι καπνοὶ, εἴτε βρωμώδεις, εἴτε μή. μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν ἀσυμφωνέντων φαμὲν,, οἷον, δὲν συμφωνῦν τὰ χνόταμας, τὐτέσιν αἱ διαθέσεις.

Χνούδι, χνούδιον τὸ ὑποκοριςικὸν τῦ χνοῦς· ἐπὶ πολλῶν ἐλέγετο, καὶ νῦν ὁμοίως. Χνύδι, χνῦς, αἱ λεπτόταται τρίχες τῦ προσώπυ. Χνῦς καὶ τὰ λεπτότατα καὶ ἁπαλώτατα πτερὰ τῶν ἐπυδατίων πτηνῶν· χνύδι καὶ ἡ ἄχνη τῦ ἀλεύρου, καὶ τῶν ἀχύρων.

Χόβολη· χόβολην καλῦμεν τὴν τοῖς λειψάνοις τῶν πεπυρωμένων ἀνθράκων ἐπιχεομένην σποδὸν, προς πλεί-

να διαμονὴν τῦ ἐν αὐτοῖς πυρὸς, ἴσως παρὰ τὸ χεῖν ἐπιβάλλειν· ἥτις παρὰ τοῖς πάλαι μαρέκη, καὶ θερμοσποδιὰ ἐκαλεῖτο.

Χονδρὸς, ὁ παχὺς, ὁ πολύσαρκος, μεταφορικῶς δὲ καὶ ὁ ὀλιγόφρων, καὶ ὁ ἀπολίτευτος, ἀντὶ τῦ παροξυτόνως ὡς παρ᾽ Ἡσυχίῳ χόνδρος. Πολυσήμαντος ἦν ἡ λέξις, καὶ νῦν ὁμοίως, χονδρὸ ἅλας φαμὲν, χονδραλεσμένο ἀλεύρι, χονδρὰ πράσσα, χόνδρος τῦ τοίχυ, χόνδρος τῦ δένδρυ, χονδροκέφαλος, χονδρόκωλος.

Χυμελιάζει τὸ φαγὶ λέγομεν, παρὰ τὸ χουμὸς ὁ πηκτὸς χυμὸς, ἀντὶ τῦ πλεῖον πεπαίνεται.

† Χῦφτα καὶ χυφτιάζω παρ᾽ ἡμῖν, φῦκτα καὶ φυχτιάζω παρ᾽ ἄλλοις, ἀντὶ τῦ δράττομαι τόσον, ὅσον οἷον τε παραλαβεῖν ἐν τῇ κοιλότητι τῆς χειρός.

Χυγιάζω, ὀνοματοποιηθὲν ἀπὸ τῆς συρτῆς φωνῆς τῶν μακρόθεν κραυγαζόντων, συνωνύμως τῷ ἰΰζειν (Οδ. Ο.)

„ . . . . . . . οἱ δὲ ἰΰζοντες ἕποντο

„ ἀνέρες ἠδὲ γυναῖκες. . . . . . . .

Χτύπος καὶ χτυπῶ, ἀντὶ κτύπος καὶ κτυπῶ, ὡς (Ἰλ. κ.)

„ ἵππων μ᾽ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.

Χτυπῶ φαμὲν καὶ ἀντὶ τῦ τύπτω, καὶ ἀντὶ τῦ κρούω· οἷον χτυπῶ τὸν πταίςην, χτυπῶ τὴν θύραν.

Χάφτω, καὶ χάπτω, ὀνοματοποιηθὲν κατὰ τὸ ἐμοὶ δοκεῖν ἀπὸ τῆς ἑλκυςικῆς φωνῆς τῶν χειλέων, οἷον

τῦ; χάπ, οὐχὶ δὲ ἀπὸ τῦ χάσκω, οὗπερ ἄλλη ἡ σημασία ὡς παρὰ τῷ Κατζούλῃ τὸ τῆς παροιμίας.

„ ἄλλος χάσκει, κι ἄλλος χάφτει.

Χωνίον, τὸ ὑποκοριστικὸν τῦ χῶνος· ἐξ οὗ τὸ χωνεύω.

Χωριάτης, ἀντὶ χωρικὸς ὁ ἀπὸ χώρας, ἢ ὂκ ἐκ πόλεως. καὶ ξεχωρίτης παρ' ἡμῖν, ἀντὶ ἐκχωρίτης ὁ ἐκ χώρας· χωριάτης μεταφορικῶς χωριάτης ὁ ἀμαθὴς, ἀπολίτευτος.

Χωρεῖ πολλὰ, πολλῶν ἐστι δεκτικόν. καὶ Αἰλιανὸς ἔφη „ οὐ γάρ οἱ χωρεῖ περιλαβεῖν τοσῦτον τὸ σῶμα „.

Χλωρὸν. χλωρὸν κυρίως τὸ τῆς χλόης νεοθαλές· μεταφορικῶς χλωρὸς καὶ ὁ ὠχρός. χλωρὸν ἢ τὸ πρόσφατον, οἷον, χλωρὸ τυρί. καὶ Ὅμηρος „ ἠδὲ μέλι „ χλωρόν,

Χορός. πολλὰ ἦν τὰ εἴδη τῦ χορῦ παρὰ τοῖς πάλαι· ὧν ἔνια μὲν σὺν τῷ τερπνῷ κόσμια, καὶ πρὸς εὐεξίαν καὶ γύμνασιν τῦ σώματος οὐκ ἀσύμφορα· ἄλλα δὲ ἀναίσχυντα, καὶ τοῖς εἰς τὰ Ἀφροδίσια κατωφερέσι καταθύμια, οἷον τὸ κατιόν.

Ἀκόλαστον ἦν ἔθος παρὰ τοῖς πάλαι, κατ' ἐξοχὴν δὲ παρὰ τοῖς Ἐτρούσκοις καὶ τοῖς Ῥωμαίοις (ἐκτὸς τῶν Διονυσιακῶν ὀργίων) τὸ ἐν τοῖς συμποσίοις τῶν πλυτέντων, δειπνούντων ἅμα, κοράσια ὡραῖα τῶν ἐκ τῦ θεάτρυ βαλλίζειν, τῦτέστι τύμπανα κτυπῦντα, πρὸς τὸν ἐκείνων ἦχον ἐν ῥυθμῷ ὀρχεῖσθαι ἢ ἄλλεσθαι· ἡμίγυμνα μὲν κατ' ἀρχὰς, ὡς λεπτοτά-

τοις καὶ *) διαφανέσιν ὀθονίοις ἀφροντίςως ἐνειλημμένα· προϊόντος δὲ τȣ̃ χορȣ̃, καὶ τῶν ὀθονίων ἐν ταῖς ἀναιδέσιν ἑλιγμοῖς καὶ ἐκλακτίσμασιν ἀεροκολπȣμένων ὁλόγυμνα καθίςαντο, τὴν ἑαυτῶν ἀσχημοσύνην τοῖς διαφόροις τῶν μελῶν κλάσμασι διαφόρως παραδεικνύμενα. Μνημονεύει τȣ́τȣ τȣ̃ ἀθέσμȣ ἔθȣς καὶ Γρηγόριος ὁ Θεολόγος ὧδέπως.

„ Καὶ παρθένων ἑλιγμȣ̀ς
„ γυμνȣμένων ἀθέσμως.
„ ἃ τοῖς πότοις τυπȣ̃σιν,
„ Ὅσοι φιλȣ̃σιν ὕβριν,
„ τὸν μαινόλην ἑτοίμως
„ ὑποφλέγοντες οἶνον.

Ἐπὶ δὲ Θεοδοσίȣ τȣ̃ μεγάλȣ θεσπίσματι βασιλικῷ ἀπηγόρευτο. Ἐν δὲ τοῖς χρόνοις Θεοδοσίȣ τȣ̃ μικρȣ̃, ἥπερ διέξεισιν ὁ Μακρόβιος, ȣ̓κ ἦν πλέον ἐν χρήσει αὕτη ἡ ἀσωτία **). Μετὰ δὲ πολλῶν αἰώνων παρέλευσιν τῶν πνευματικῶν τις τυράννων βακχικῶς φιλοφρονούμενος, καὶ ἐμπλήκτως φιλανθρωπευόμενος, ἀνεκαλέσατο τὴν μνήμην καὶ χρῆσιν αὐτῆς τῆς ἀποτροπαίȣ θέας, καὶ ξὺν προσθήκῃ ἀποτροπαιοτέρᾳ,

*) Ὡς παρὰ Ἀθηναίῳ — „ καὶ σαμβυκίςριαίτινες Ῥόδιαι ἐμοὶ „ μὲν γυμναὶ ἐδόκȣν, πλὴν ἔλεγόν τινες ἔχειν χιτῶνας. „

**) Κατὰ δὲ Προκόπιον καὶ ἐπὶ Ἰȣςιανȣ̃ ἡ ἀδελφὴ Θεοδώρας τῆς βασιλίσσης ἐφαίνετο ὑμίγυμνος ἐν τῷ θεάτρῳ. φησὶ δ' οὕτω. „ Πολλάκις δὲ ἐν τῷ θεάτρῳ ὑπὸ θεατῇ παντὶ „ τῷ δήμῳ ἀπεδύσατό τε, καὶ γυμνὴ διὰ μέσȣ ἐγένετο, ἀμ„ φὶ τὰ αἰδοῖα καὶ τȣ̀ς βȣβῶνας διάζωσμα ἔχȣσα μόνον, „

καὶ τῷ ὄντι ἀξίᾳ τῆς τε μεγαλονοίας καὶ τῆς ἁγιότητος τοῦ ἐφευρετοῦ, ἤγουν ἐν ἀκμῇ τοῦ χοροῦ ὁσίαις αὐτοῦ χερσὶ ῥίπτων εἰς τὸ μέσον κάστανα ὀπτὰ, ἵνα τὰ ὑπὸ πολλῇ τῇ φωταγωγίᾳ ὀρχούμενα γυμνὰ κοράσια, ἐν τῷ ἀναμεταξὺ τῶν ἑλιγμῶν καὶ ἐκλακτισμάτων καὶ ἐπὶ τῇ τῶν καστάνων ἁρπαγῇ θαμὰ κύπτοντα, θυμηρεστέραν αὐτῷ τε καὶ τοῖς συνοργιάζουσι παρεμφαίνωσι τὴν ἀλλοπρόσωπον ἀναίδειαν. Ἴσως οὐκ ἠμέλησαν καὶ ἄλλοι τινὲς τῶν διαδεξαμένων μιμηταὶ γενέσθαι αὐτῆς τῆς ἐμπληκτοπατερικῆς αὐτοῦ παραθέσεως.

---

Προσθήκη εἰς τὸ X

Χειρότερος, ἀντὶ τοῦ Ἀττικῶς χείρων· διετήρησεν ἡ συνήθεια τὴν ἀρχαιότητα καθ' Ὅμηρον ἐν τῷ (Ιλ. υ) καὶ ἐπὶ τούτου.

„ Αἴκα σε, χειρότερός περ ἐὼν, ἀπὸ θυμὸν ἕλωμαι.

Χάνω λέγεται ἀντὶ τοῦ ζημιοῦμαι, ἢ ἀπολλύω, ἢ στέρομαι, ἢ ἀποτυγχάνω, ἢ παραμεύω, ἢ ἐκτρέπομαι· οἷον „ ἔχασε τὸ ἔχειν του· ἔχασε τὰ παιδιά του· θέλει χάσει τὸν νοῦν του. χάνω τὴν στράταν· ἔχασε τὴν ἐλπίδα, καὶ ἄλλα. Χάνω, ἴσως παρὰ τὸ χάτις, στέρησις· οὗπερ μέλλων κατὰ τὴν νῦν χρῆσιν θέλω

χάσει, ὁ ἀόριςος ἔχασα· μετοχὴ χαμένος ὁ ἀπολωλὼς, μεταφορικῶς δὲ ὁ δυςυχὴς, καὶ ὁ ἔξω φρενῶν.

Χαντάκι, χαντάκιον, αὔλαξ, τάφρος, κοῖλος τόπος, διώρυξ, ἁμάρα, ὀχετὸς, καὶ τὸ σχίσμα τȣ̃ ἀρότρȣ, ἴσως τὸ ὑποκοριςικόν ἐςι τȣ̃ χάνδαξ πρωτοτύπȣ. Δοκεῖ τὸ χάνδαξ ὡς μὴ ξενίζον, παράγωγον εἶναι τȣ̃, χαιδὸν, ἢ χανδάνειν, εἰ καὶ ἐν τοῖς παρ' ἐμὸι λεξικοῖς ȣ̓ κατακεχώρισαι· ἐξ ȣ̃ ῥῆμα χαντακόνω, ἀντὶ τȣ̃ ἐξαλείφω, ἢ ἀφανίζω· καὶ χαντακόνομαι κατὰ μέσην διάθεσιν καὶ ἀντὶ τȣ̃ ἀπόλλυμαι, καὶ ἀντὶ τȣ̃ ἀφανὴς γίνομαι· καὶ τὰ χάνδακα τῆς γῆς φαμέν.

Χυτὸν, Ἠπείρȣ χωρίον· Ἔφορος „οἱ δ' ἐκ κλαζομενῶν „κατῴκησαν τῆς Ἠπείρȣ τὸ Χυτὸν καλȣ́μενον.‟

Χωνεύω· χωνεύω κυρίως τὸ εἰς χῶνον ἐμβάλλω, ἢ χωνεύει ἀπρόσωπον, ἀντὶ τȣ̃ εἰς βόθυνον ἀφανίζεται, καθὰ ἢ νῦν λέγεται, οἷον, ἡ δεῖνα λίμνη ȣ̓κ ἐκρέει, ἀλλὰ χωνεύει εἰς τὸν δεῖνα τόπον, ἢ παρ' ἡμῖν ἡ λίμνη χωνέυει εἰς τὴν Βοηνίκοβαν, ἢ ὁ τόπος ἐν ᾧ χωνεύει, χωνεύτρα λέγεται. Χρῆται ἡ συνήθεια τῷ, χωνεύειν, μεταφορικῶς ἢ ἐπὶ τῆς ἐν τῷ ςομάχῳ γιγνομένης πέψεως, χώνευσίν τε καλȣ̃σα τὴν πέψιν, καὶ χωνευτικὸν τὸ εὔπεπτον.

# Ψ

Ψάθα, ἀντὶ ψίαθος,

Ψαλίδιον, ἀντὶ ψαλὶς ψαλίδος.

Ψάρι, ἀντὶ ὀψάριον,

Ψαρὶ, ἀντὶ ψαρὸν, τὸ ποικίλον.

Ψάχνω, ἐπὶ ἀφῆς λέγεται ἀντὶ τῦ ψαύω, ἢ τῦ ποιητικῶς ψάω· ἐξ ȣ̃ τὸ ψαχνὸν τῦ κρέατος,

Ψεγάδι, μῶμος τῦ σώματος, παρὰ τὸ ψέγεσθαι·

Ψεῖρα, ἀντὶ τῦ φθείρ· ψεῖρα ἴσως παρὰ τὸ ψείρειν τὸ φθείρειν· ἐξ ȣ̃ καὶ ῥῆμα, ψειριάζει·

Ψητὸν, καὶ ἑψητὸν λέγομεν ἀντεστραμμένως, ἀντὶ τῦ ὀπτόν· ἑψητὸν γὰρ κυρίως παρὰ τοῖς πάλαι, τὸ νῦν λεγόμενον βραστόν· καθὰ ἕψημα ἐλέγετο καὶ ὁ εἰς γλυκύτητα ἑψημένος οἶνος. ἑψητὸς ἐλέγετο καὶ ὁ ἐν λοπάδι τηγανιζόμενος ἰχθύς· ὡς παρὰ Πλȣτάρχῳ.

„ Ἀνταγόρȣ δὲ τῦ ποιητῦ γόγγρον ἕψοντος, καὶ αὐτῦ τὴν „ λοπάδα σείοντος, ἐπιστὰς Ἀντίπατρος ἐξόπισθεν, οἴει, ἔφη, „ τὸν Ὅμηρον, ὦ Ἀνταγόρα, γόγγρον ἕψειν, τὰς τῦ Ἀγα- „ μέμνονος γράφοντα πράξεις. "

Περὶ ὀπτῦ παρ' Ὁμήρῳ (Ὀδ: γ)

„ Μίστυλλόν τ' ἄρα τἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν
„ Ὤπτων δ' ἀκροπόρȣς ὀβελὸς ἐν χερσὶν ἔχοντες.

Περὶ ὀπτȣ͂, καὶ ἑψητȣ͂ παρὰ Σοφοκλεῖ (Κλυτ:)

,, Ξύνδειπνον ἔσχε τὸν τάλαν, καὶ δῶκεν οἱ
,, Τὰ τέκν' ὀβελοῖς ὀπτώμενά τε, χ' ἡψημένα
,, Λέβησι χαλκείησι. καὶ τέθ' ἥλιος
,, Ο'ρῶν τοκῆα τὰς ἑὰς παῖδας φαγεῖν,

Καὶ παρὰ Λόγγῳ, ,, πῦρ ἀνακαύσας, καὶ τὰ μὲν ,, ἑψήσας τῶν κρεῶν, τὰ δὲ ὀπτήσας.

Ο'πτὰ κυρίως ἐκάλȣν οἱ πάλαι τὰ ἁπλῶς, ἤτοι πρὸς τῷ πυρὶ, ἢ ἐπ' ἀνθράκων ὀπτάμενα, εἴτε ὀβελίοις διαπεπαρμένα, εἴτε ἐπ' ἐσχαρῶν, οἷον, κρέη, ἰχθύες, καὶ ἄλλα, εἴτε ἐν κριβάνοις, οἷον ἄρτοι. Τὰ νῦν δὲ ἡ τȣ͂ ὀπτȣ͂ φωνὴ παρὰ τῇ χυδαίᾳ ἡμῶν συνηθείᾳ παντάπασιν ἄγνωστος, ἅτε ἀντὶ τȣ͂ ὀπτῶ χρωμένη τῷ ψήνω, κατὰ συστολὴν δὲ ψένω, οἷον, ψένω τ' ἀρνὶ, ψένει ψωμί.

Ψηφάω φαμὲν ἀντὶ τȣ͂ σέβομαι, ἢ ȣ̓κ εὐκαταφρόνητον κρίνω. παρὰ δὲ τοῖς πάλαι τὸ ψηφάω φροντίδος ἦν σημαντικόν. ἄλλο δὲ τὸ ψηφίζω, ἀντὶ τȣ͂ ψηφίζομαι, ἀποφαίνομαι, ἐπικυρῶ· ἐξ ȣ͂ καὶ ἡ ψῆφος.

Ψιλὸν, λεπτὸν, οἷον, ψιλὸ πανὶ, ψιλὸ ῥȣ͂χον. τὸ ψιλὸν καὶ παρ' Ἡσυχίῳ πρὸς τοῖς ἄλλοις καὶ λεπτότητος σημαντικόν.

Ψιχάλα, ἀντὶ τȣ͂ ψεκὰς, ἴσως ἐκ μεταφορᾶς τῶν ψιχίων, τȣτέστιν ὁ λεπτότατος ὑετός.

Ψολογᾶ, φαμὲν, ἀντὶ τȣ͂ βλασφημᾶ, καταρᾶμαι,

ἀναθεματίζω· ψολογᾶ, ἴσως παρὰ τὸ ψολὸς ἡ αἰθάλη τᾶ κεραυνείυ πυρὸς, ὡς παρ' Ὁμήρῳ.

,, ψολόεντι κεραυνῷ βάλε Ζεύς.

Οἱ γάρ τινας καταρώμενοι, κατεύχονται αὐτοῖς τὰ χείριςα· καθὰ καὶ νῦν ἔτι παρ' ἡμῖν ἐν χρήσει καταρᾶσθαι τοῖς ἐναντίοις ψολόεντας κεραυνὰς· λέγομεν γὰρ ,, ν' ἀςράψη, καὶ νὰ τὸν κάψη.

Ψόφος ἀντὶ ἐπιδημικὴ ἀσθένεια καὶ θάνατος τῶν τετραπόδων· οἷον, ἔπεσε ψόφος ςὰ πρόβατα, ςὰ γελάδια. καὶ ψοφάει, ἀντὶ τᾶ ἀποθνήσκει, ὡς καὶ ἐν ταῖς παροιμίαις.

,, ψόφησεν ὁ μαῦρος μα, χορτάρι μὴν φυτρώσῃ
,, τ' ἄλογο ἀποκάτω τ' ἀγώγι τα ψοφάει.

Παρὰ δὲ τοῖς πάλαι τὸ, ψόφος, κτύπα κυρίως ἦν σημαντικόν.

Εὐαρμόςως πάνυ τεκμαίρεται ὁ Κοραῆς τὸ, ψόφος, τὴν ἀρχὴν εἰληφέναι παρὰ τῇ συνηθείᾳ ἐκ τᾶ Ὁμηρικᾶ δαπῆσαι, τὸ ψοφῆσαι, (ὡς ἐν τῷ Ἰλ: ν)

,, Ἢ αὐτὸς δαπῆσαι ἀμύνων λοιγὸν Ἀχαιῶν.

Τὸ γὰρ δουπῆσαι οὐδὲν ἄλλο κατὰ τοὺς σχολιαστὰς δηλοῖ, ἢ αὐτὸ τὸ, ψοφῆσαι, ἤγουν ἐν τῷ πολέμῳ μετὰ ψόφου ἀποθανεῖν. οἱ γὰρ ἐν ταῖς μάχαις θανατούμενοι, πίπτοντες, δῆπου τοὺτέσι ψόφον ἀποτελοῦσι τοῖς ὅπλοις.

Τοιγάρτοι ἡ χυδαιότης τὴν Ὁμηρικὴν ταύτην φράσιν ἀπὸ τῶν ἀνθρώπων τῶν ἐν πολέμῳ μετὰ ψόφου πιπτόντων μετενεγκοῦσα, ἀναρμόσως πάνυ καὶ ἀκολλήτως τῷ τῶν ἀλόγων ζώων θανάτῳ προσεκόλλησε.

# Ω.

Ω'μὸν, τὸ μὴ ἑφθὸν, καὶ τὸ ἄωρον. Ω'μὸς μεταφορικῶς ὁ σκληροκάρδιος. ὠμὸν καλοῦμεν καὶ τὸν καθ' ὑπερβολὴν νωθρόν.

Ω῏μοι, ὦμοι, ἡ πλάτη, πλάται.

Ω῎μορφος Ἰωνικῇ τροπῇ τῆς ευ εἰς ω μέγα, ἀντὶ εὔμορφος κατὰ τὸ ἐπιπλώσας, ἀντὶ ἐπιπλεύσας, ὡς παρ' Ο'μ: (Ι'λ: γ)

„ Πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας.

Ω῾ς ἂν, καὶ συνημμένως ὡσὰν, καὶ σὰν χυδαϊκῇ ἀποβολῇ τοῦ ἀρχικοῦ ω. Α'υτῷ δὴ τῷ ὡς, ἢ ὡς ἄν, καὶ ὡσάν, ἢ σὰν ἐπὶ πολλῶν καὶ ἡ νῦν συνήθεια Ο'μηρικῶς χρῆται, οἷον, „ σὰν ἔλθῃ, τοῦ τὸ λέγω, ἀντὶ τοῦ ὅτε, κατὰ τὸ,

„ Ἕκτωρ δ' ὡς σκαιάς τε πύλας, καὶ πύργον ἵκανε.

καὶ ἀντὶ τοῦ ἐπειδὴ, „ σὰν δὲν θέλει, τί νὰ τοῦ κάμω. κατὰ τό

„ Ω῾ς ἴδε χῶρον ἔρημον, ὅθ' ἔστασαν ὠκέες ἵπποι.

καὶ ἀντὶ τοῦ ὁμοίως, ὡς ἐν τῇ παροιμίᾳ.

„ Δέλευέ με κακοῤῥοίζικε, μὴ γένω σάν κ' ἐσένα. κατὰ τὸ
„ Ὥς δ' αὔτως Πάτροκλος, ἐπειδὴ ἴδε φῶτας, ἀνέστη.

Ὡσὰν, παρὰ Ἰωσ: τῷ Φλαβίῳ, ἀντὶ τοῦ καθὸ.
„ Καθίσατε δὲ καὶ ἐθνάρχης αὐτῶν, ὃς διοικεῖ τε τὸ ἔθνος,
„ καὶ συμβολαίων ἐπιμελεῖται καὶ πραγμάτων, ὡσὰν πολιτείας
„ ἄρχων αὐτοτελοῦς.

Ἐκλαμβάνει δ' ἡ συνήθεια τὸ, ὡς, καὶ ἀντὶ τοῦ ἕως, οἷον, ὡς πότε νὰ σ' ἀναμένω; ἀντὶ τοῦ ἕως πότε.

## (V)

### Περὶ ἀργῶν λίθων.

Οἱ ἀρχαῖοι ἐθνικοὶ ἐτίμων τὲς ἑαυτῶν θεὲς, ἀντὶ ἀγαλμάτων, λιθίνοις κίοσιν, ἢ ςήλαις, ἢ πυραμίδεσιν· οἵπερ ἐκαλῦντο ἀργοὶ λίθοι. (ἐθ' ὅτε καὶ ξυλίνοις).

ὡς παρὰ Παυσανίᾳ.

„ Τά δὲ ἔτι παλαιότερα καὶ τοῖς πᾶσιν Ἕλλησι, τιμὰς θεῶν
„ ἀντὶ ἀγαλμάτων εἶχον ἀργοὶ λίθοι.

Καὶ ἀλλαχῦ παρὰ τῷ αὐτῷ περὶ τῶν παρὰ τοῖς Μεγαρεῦσιν ἐν τοιύτῳ τῷ χήματι σεβομένυ Ἀπόλλωνος.

„ Ἔςι δὲ λίθος παρεχόμενος πιραμίδος χῆμα οὐ μεγάλης· τῦ-
„ τον Ἀπόλλωνα ὀνομάζυσι Καρηνόν· καὶ ἀλλαχῦ.
„ Πυραμίδι δὲ ὁ μειλίχιος Ζεὺς· ἡ δὲ Ἄρτεμις πατρῴα
„ κίονι ἐςὶν εἰκασμένη.

Καὶ ἀλλαχῦ περὶ τῶν πλησίον τῆς Σπάρτης κειμένων λίθων.

„ Κίονες ἑπτά . . . . . κατά τρόπον τόν ἀρχαῖον,
„ οὓς ἀςέρων τῶν πλανητῶν φασὶν ἀγάλματα.

Καὶ παρὰ Φιλοςράτῳ.

„ Κατά τὴν Πάφον, οὗ τὸ τῆς Ἀφροδίτης ἕδος ξυμβολικῶς
„ ἱδρυμένον.

Καὶ παρὰ Μαξίμῳ τῷ Τυρίῳ.

,, Παφίοις μὲν ἡ Ἀφροδίτη τὰς τιμὰς ἔχει· τὸ δὲ ἄγαλμα
,, ἐκ ἂν εἰκάσαις ἄλλῳ τῳ, ἢ πυραμίδι λευκῇ.

Καὶ ἀλλαχȣ̃.

,, Παίονες σέβȣσι τὸν Ἥλιον. Ἄγαλμα δὲ ἡλίȣ δίσκος βραχὺς
,, ὑπὲρ ξύλȣ μακροῦ,,.

Καὶ ἀλλαχȣ̃.

,, Καὶ γεωργοὶ Διόνυσον τιμῶσι, πήξαντες ἐν ὀρχάτῳ αὐ-
,, τοφυὲς πρέμνον, ἀγροικικὸν ἄγαλμα.,,

Καὶ παρὰ Κλήμ: τῷ Ἀλεξανδρ.

,, Κίονας ἱςάντες, ἔσεβον τȣ́τȣς ὡς ἀφιδρύματα τȣ̃ Θεȣ̃.,,

Καὶ παρ' Ἡρωδιανῷ περὶ τȣ̃
ἐν Ἐμέσσῃ λίθȣ.

,, Ἱέρωντο δὲ αὐτοὶ ἰθεᾷ Ἡλίῳ· τȣ̃τον γὰρ οἱ
,, ἐπιχώριοι σέβȣσι, τῇ Φοινίκων φωνῇ Ἐλαιογάβα-
,, λον καλȣ̃ντες. Νεὼς δὲ μέγιςος κατεσκεύαςο αὐτȣ̃,
,, χρυσῷ πολλῷ καὶ ἀργύρᾳ κεκοσμημένος, λίθων
,, τε πολυτελείᾳ. Θρησκεύεται δὲ ȣ̓ μόνον πρὸς τῶν
,, ἐπιχωρίων, ἀλλὰ καὶ πάντες οἱ γειτνιῶντες σατρά-
,, παι τε, καὶ βασιλεῖς φιλοτίμως πέμπȣσι τῷ Θεῷ
,, ἑκάςȣ ἔτȣς πολυτελῆ ἀναθήματα. Ἄγαλμα μὲν
,, ȣ̓̃ν ὥσπερ παρ' Ἕλλησιν, ἢ ῥωμαίοις, ȣ̓δὲν ἕςηκε
,, χειροποίητον, θεȣ̃ φέρον εἰκόνα· λίθος δέ τις ἐςὶ
,, μέγιςος, κάτωθεν περιφερής, λήγων εἰς ὀξύτητα·
,, κωνοειδὲς αὐτῷ σχῆμα, μέλαινά τε ἡ *) χροιά.
,, Διοπετῆ τε αὐτὸν εἶναι σεμνολογȣ̃σιν, ἐξοχάς τινας
,, βραχείας καὶ τύπȣς δεικνύȣσιν, εἰκόνα τε Ἡλίȣ
,, ἀνέργαςον εἶναι θέλȣσιν.

*) Ἱςορέμενον παρὰ τοῖς νεωτέροις Γαιωγράφοις, ὅτι ἡ νῦν ἐν τῇ Πετραίᾳ Ἀῤῥαβίᾳ πρωτεύεσα πόλις Μέκκα ἐκαλεῖτο τὸ πάλαι Μπάκκα, ἀπὸ τȣ̃ παρὰ τοῖς ἀρχαίοις Ἄραψιν ὑπὸ τῷ ὀνόματι Μπὰρ Χȣ̃ς, ἢ Μπὰκ Χȣ̃ς θρησκευομένȣ θεȣ̃, τȣ̃ παρ᾽ Ἕλλησι Βάκχȣ· καὶ ὅτι ἦν ἐν αὐτῇ τῇ Μπάκκᾳ καὶ μικρός τις βωμὸς τετράγωνος Καάμπα πρὸς τῶν ἐγχωρίων καλȣ́μενος· καὶ ἐν αὐτῷ δὴ τῷ βωμῷ λίθος μέγας καὶ μέλας, εἰς τιμὴν τῆς Ἀςάρτης, ἤτοι τῆς Συρίας Ἀφροδίτης ὑπ᾽ αὐτῶν σεβόμενος· ὥςε ἐπίσης παρ᾽ αὐτῶν ἐθρησκεύετο καὶ ὁ βωμὸς καὶ ὁ λίθος· καὶ ὅτι ἑκάςȣ ἔτȣς οἱ Ἄραβες συνήρχοντο ἐν αὐτῷ τῷ τόπῳ, εἰς προσκύνησιν τȣ̃ τε Καάμπα καὶ τȣ̃ λίθȣ, καὶ ἐπανηγύριζον, ȣ̓κ ὀλίγης μεταλαμβάνοντες τῆς ὠφελείας ἀπὸ τῆς πανηγύρεως.)

---

Πρὸς τȣ́τοις, κατ᾽ αὐτȣ̀ς τȣ̀ς περιηγητὰς, καὶ ἐν τῇ ποτὲ κατὰ Στέφανον τὸν Βυζάντιον Τάβις καλȣμένῃ πόλει τῆς Παλμυρηνῆς, τὰ νῦν δὲ εἰς κωμόπολιν, Ταΐμπα ὑπὸ τῶν ἐπιχωρίων λεγομένην, μεταπεσούσῃ, σώζετ᾽ ἔτι βωμός τις παλαιὸς, καὶ ἐν τῷ βωμῷ κεῖται μέγας καὶ τετράγωνος λίθος, λήγων εἰς ὀξύτητα· καὶ ὅτι οἱ ἐπιχώριοι Ἄραβες συνέρχονται καὶ συμπροσκυνȣ̃σιν ἐν τῷ βωμῷ, καὶ τὸν λίθον σεβόμενοι ἀσπάζονται.

---

Καὶ παρὰ τοῖς Παλμυρηνοῖς τὸ πάλαι ἐθρησκεύετο ὁ Ἥλιος ἐν σχήματι πυραμίδος, τῇ τῶν Ἐμεσσηνῶν παρεμφερῶς· Ἀλλίβαλος ἦν αὐτῆς τοὔνομα.

---

(Β)

Περὶ τῆς περιφήμου ποτὲ πόλεως Παλμύρας, τῆς Συριστὶ Τατμούδ. ταυτόσημα τὰ ὀνόματα. Τατμούδ γὰρ παρὰ τῶν Σύρων ὠνομάσθη, ὅπερ σημαίνει τόπον Φοινίκων, διὰ τὸ ἀκάρπου καὶ ἀδένδρου οὔσης τῆς Συριακῆς ἐρημίας, ἐν αὐτῷ δὴ μόνῳ τῷ τόπῳ φύεσθαι Φοίνικας· οἱ δὲ Ῥωμαῖοι ἐκλατινίσαντες τὴν τῆς φωνῆς σημασίαν, Παλμύραν ἐκάλεσαν· πάλμαι γὰρ παρ' αὐτοῖς λέγονται τὰ τῶν Φοινίκων δένδρα.

---

Ἐν τῷ μέσῳ τῆς ἀκάρπου, καὶ ἀνύδρου Συριακῆς ἐρημίας, τῷ μεταξὺ Εὐφράτου τοῦ ποταμοῦ, καὶ (Γ) Ἐμέσσης τῆς πρὸς τῷ Ὀρρόντῃ ποταμῷ ποτε πόλεως, εὑρίσκεταί τις σειρὰ ὀρέων, οὐχὶ τῶν ὑψηλῶν, γυμνῶν δ' ἄλλως καὶ ἀκάρπων· ἐκτεινομένη ἀπὸ τῶν Βορείων πρὸς Μεσημβρίαν μίλια Ἰταλικὰ ὡσεὶ ἑξήκοντα, καὶ ἀπέχουσα τριῶν ἡμερῶν ὁδὸν τοῦ Εὐφράτου, οὐ πολὺ δὲ πλεῖον καὶ τῆς Ἐμέσσης· ἀρχομένη μὲν ἐν στενότητι μέχρι τῶν δύο τρίτων τοῦ μήκους, ἔπειτα δὲ ἐξαπλουμένη δίκην δεξιᾶς χειρὸς ἐκτεταμέ-

νης· πρὸς δὲ τῷ μεγάλῳ δακτύλῳ, ὡς εἰπεῖν, ἐν ταῖς ὑπορείαις ταῖς κατ' Ἀνατολὰς γῆς ἀγαθῆς μέρος, ὕδατός τε ὑγιεστάτȣ πηγαὶ δύο, καὶ ὁ ἀὴρ εὔκρατος, ὡς *) Λογγῖνος ὁ Κάσσιος μαρτυρεῖ· ἐνταῦθα ἔκτισαι ἡ πολυθρύλλητος Παλμύρα. Ἡ τοιαύτη γὰρ θέσις τȣ̃ τόπȣ ἁρμοδιεστάτη οὖσα διὰ τὸ ἀπὸ τῆς Ἰνδικῆς, καὶ τȣ̃ Περσικȣ̃ κόλπȣ διὰ τȣ̃ Εὐφράτȣ ποταμȣ̃, καὶ τῆς τριημέρȣ ἐρημίας γινόμενον ἐν αὐτῇ ἐμπόριον, ἀναμφιβόλως ἔκπαλαι πολλȣ̀ς τῶν Φοινίκων ἔσχε τȣ̀ς οἰκήσαντας, καὶ ἔκπαλαι ὑπῆρξε καταγώγιον, καὶ ἀνάπαυσις τῶν ἐμπόρων, ἀποθήκη τε τȣ̃ πλουσίȣ αὐτῶν φόρτȣ, τȣ̃ ἐκ τῆς Παλμύρας ἔπειτα, ὡς ἐκ πηγῆς τινος, μεταδιδομένȣ εἰς τὴν Φοινίκην, παλαιστίνην τε, καὶ τὴν μικρὰν Ἀσίαν.

Αὕτη ἡ πρόσφορος τοποθεσία ȣ̓κ ἀπέφυγε τὸ ἐγρήγορον ὄμμα καὶ Σολομῶντος τȣ̃ σοφȣ̃ βασιλέως τῶν Ἰȣδαίων· ὅσις, ἵνα καθὼς τὰς διὰ τῆς Ἐρυθρᾶς θαλάσσης, οὕτω καὶ τὰς διὰ τῆς Παλμύρας Ἰνδικὰς πλȣσιότητας ἑαυτῷ τε καὶ τοῖς αὐτοῦ ὑπηκόοις προσαγάγηται, ȣ̓κ ἠμέλησε κατ' αὐτῆς τῆς Παλμύρας ἐκστρατεῦσαι, ἥνγε καὶ ὑποτάξας, φυλακαῖς τε ὀχυρωσάμενος, διετέλεσε μέχρι τέλȣς τῆς αὐ-

*) Ἐν τῇ πρὸς τὸν παρ' αὐτῷ μαθητεύσαντα Πορφύριον ἐπισολῇ· Λογγῖνος φιλόσοφος ἦν, πολυμαθής τε καὶ κριτικὸς γενόμενος· ἀνῃρέθη δὲ ὑπὸ Αὐρηλιανȣ̃ ὡς σύμπνȣς Ζηνοβίᾳ.

τῆς βασιλείας κρατῶν αὐτῆς, καὶ καρπέμενος τὰς ἐξ αὐτῆς ὠφελείας· ἅπερ εἰ διήρκεσαν καὶ ἐπὶ τῶν διαδόχων αὐτοῦ τῷ γένει τῶν Ἑβραίων, ἄδηλον.

Ὁμοίως οὐ γνωστόν, ὁποία καὶ ἐπὶ τῶν μετὰ Ἀλέξανδρον ἐν τῇ Συρίᾳ βασιλευσάντων Σελευκιδῶν ἡ τῆς Παλμύρας ὑπῆρξε κατάστασις· ἱστορούμενον δέ, ὅτι ἐν τοῖς μεταξὺ Πάρθων τε, καὶ Ῥωμαίων πολυχρονίοις πολέμοις, ὑπάρχουσα ἐν τῷ μεταιχμίῳ, κατ' ἐπιτροπὴν δ' ἀμφοτέρων μείνασα ἐν ἀδιαφορίᾳ, ὑπερεπλούτησε καὶ ἐδοξάσθη· καὶ ὅτι ἐπὶ Τραϊανοῦ, καί τοι τῇ τῶν Ῥωμαίων ὑποπεσοῦσα ἀρχῇ, οὐ μόνον οὐδεμιᾶς τῶν προϋπαρξασῶν ἐλευθεριῶν οὐκ ἀπεστέρητο, ἀλλὰ καὶ προνομίῳ Ῥωμαϊκῆς πολιτείας παρ' αὐτοῦ ἐτετίμητο· καὶ ὅτι Ἀδριανὸς ὁ τὸν Τραϊανὸν διαδεξάμενος, ἄλλατε προνόμια αὐτῇ ἐχαρίσατο, οἰκοδομαῖς τε πολυτελέσι, καὶ πολλοῖς ἀναθήμασιν αὐτὴν κατεκόσμησε· ταύτῃ τοι πρὸς τῶν Παλμηρυνῶν, εἰς σημεῖον εὐγνωμοσύνης, καὶ Ἀδριανούπολις προσεπωνομάσθη, ὡς καὶ ἐκ τοῦ τίτλου τῶν ἐπὶ τοῦ Χριστιανισμοῦ ἐν αὐτῇ ἀρχιερατευσάντων πιστώσασθαι ἔχομεν. — „Παλ-„μύρας Ἀδριανουπόλεως ὑπέρτιμος καὶ ἔξαρχος Φοινίκης Λι-„βανισίας.

Οὐχ ἧττον δ' ἡ Παλμύρα ἐν τιμῇ ὑπῆρξε καὶ ἐπὶ τῶν μετὰ Ἀδριανὸν αὐτοκρατόρων Ῥωμαίων· καὶ οὕτω κατὰ συνέχειαν ἐς τοσοῦτον πλούτου, δόξης, δυνάμεως, καὶ ὑπερηφανείας ἤρθη, ὥστε καὶ κατ' αὐ-

τῶν τῶν Ῥωμαίων, ὡς ἄλλη τις Καρχηδὼν κινῆσαι πόλεμον· πικρὰς ὅμως ἀπέτισε τὰς ποινὰς τῆς αὐθαδείας, ὡς ἐκ τῶν κατιόντων ἀποσπασματίων τῶν ἐκ τῆς τῦ Κόμητος Ζωσιμᾶ ἱςορίας, μαθεῖν ἔξεςιν.

---

„ Τοῖς δὲ περὶ τὴν Ἑώαν πράγμασιν, ὖσιν ἐν „ ἀπογνώσει, βοηθεῖν Ὀδάναθον ἔταξεν ὁ βασιλεὺς „ (Γαλληνὸς) ἄνδρα Παλμυρηνὸν, καὶ ἐκ προγόνων „ τῆς παρὰ τῶν βασιλέων ἀξιωθέντα τιμῆς. Ὁ δὲ „ τοῖς αὐτόθι λελειμμένοις ςρατοπέδοις δύναμιν ἀνα„ μίξας ὅ,τι πλείςην οἰκείαν, ἐπεξῄει τῷ Σαπώρῃ „ κατὰ τὸ καρτερόν. . . . . . . . Ἐπεὶ δὲ „ διατρίβων κατὰ τὴν Ἔμεσσαν ὁ Ὀδάναθος, καί „ τινα γενέθλιον ἄγων ἑορτὴν, ἐπιβυλῇ ἀνῃρέθη, „ τῶν ἐκεῖσε πραγμάτων ἀντιλαμβάνεται Ζηνοβία, „ συνοικῦσα μὲν Ὀδονάθῳ, φρονήματι δὲ ἀνδρείῳ „ χρωμένη, καὶ διὰ τῶν ἐκείνῳ συνόντων τὴν ἴσην „ εἰσφέρυσα τοῖς πράγμασιν ἐπιμέλειαν . . . . . . . . . . . „ Μειζόνων ἐφιεμένη ἡ Ζηνο„ βία πραγμάτων, Ζάβδαν ἐπὶ τὴν Αἴγυπτον ἐκπέμ„ πει, Τιμαγένυς ἀνδρὸς Αἰγυπτίυ τὴν ἀρχὴν τῆς „ Αἰγίπτυ Παλμυρηνοῖς καταπραττομένυ. Συναχ„ θέντος δε τῦ ςρατεύματος ἐκ Παλμυρηνῶν, καὶ „ Σύρων, καὶ βαρβάρων εἰς ἑπτὰ μυριάδας, καὶ „ Αἰγυπτίων πέντε μυριᾶσιν ἀντιταξαμένων, μάχης

,, κρατερᾶς γενομένης, περιῆσαν οἱ Παλμυρηνοὶ πα-
,, ραπολὺ τῷ πολέμῳ, καὶ Φρουρὰν ἐγκαταστήσαντες
,, πεντακισχιλίων ἀνδρῶν, ἀνεχώρησαν. . . . .
. . . . . . . . . ,, Διῳκημένων δὲ ὧδε τῶν
,, περὶ τὴν Ἰταλίαν, καὶ Παιωνίαν, ὁ βασιλεὺς (Αὐ-
,, ρηλιανὸς) στρατείαν ἐπὶ Παλμυρηνοὺς ἄγειν διενοεῖτο,
,, κρατοῦντας ἤδη τῶν τε Αἰγυπτιακῶν καὶ τῆς Ἑώας
,, ἁπάσης, καὶ μέχρις Ἀγκύρας τῆς Γαλατίας· ἐθε-
,, λήσαντας δὲ καὶ Βιθυνίας μέχρι Χαλκηδόνος ἀντι-
,, λαβέσθαι, εἰ μὴ βεβασιλευκέναι γνόντες Αἰρηλια-
,, νόν, τὴν Παλμυρηνῶν ἀπεσείσαντο προστασίαν . . .
. . . . . . ,, Τὸ δὲ τῶν Παλμυρηνῶν στρατόπεδον
ἰδὼν ἐν τῷ πρὸ τῆς Ἐμέσσης πεδίῳ. . . . .
. . . . ,, Φευγόντων δὲ ἤδη τῶν Παλμυρηνῶν
προτροπάδην . . . . . . . . . . . . . . . . . .
,, Πειθόμενος δὲ τὴν Ζηνοβίας Φυγὴν ὁ Αὐρηλιανὸς,
εἰς μὲν τὴν Ἔμεσσαν εἰσήει, προθύμως αὐτὸν τῶν
,, πολιτῶν δεχομένων. Εὑρὼν δὲ πλοῦτον, ὃν οὐχ οἵα
,, τε ἐγεγόνει Ζηνοβία μετακομίσαι, παραχρῆμα
,, σὺν τῷ στρατῷ τῆς ὁδοῦ τῆς ἐπὶ παλμύραν εἴχετο·
,, καὶ ἐπιστὰς τῇ πόλει, κύκλῳ περιβαλὼν ἐπολιόρ-
,, κει, τῆς τροφῆς ἐκ τῶν πλησιαζόντων ἐθνῶν τῷ
,, στρατοπέδῳ χορηγουμένης. Τῶν δὲ Παλμυρηνῶν ἐπι-
,, τωθαζόντων, ὡς ἀδυνάτου τῆς ἁλώσεως οὔσης . .
. . . . . . . . . . Τῆς δὲ πόλεως γενόμενος
,, κύριος, καὶ τοῦ κατ᾽ αὐτὴν πλούτου, καὶ τῆς ἄλλης

„ ἀποσκευῆς, καὶ ἀναθημάτων κρατήσας, ἐπανελθὼν
„ εἰς τὴν Ἔμεσσαν εἰς κρίσιν ἤγαγε τὴν Ζηνοβίαν,
„ καὶ τοὺς ταύτῃ συναραμένȣς . . . . . . . . ἐν οἷς
„ καὶ Λογγῖνος ἦν· οὗ συγγράμματά ἐςι, μέγα τοῖς
„ παιδείας μεταποιȣμένοις ὄφελος φέροντα . . . . .
. . . . . . . . . . . . . . „ Παλμυρηνοὶ δὲ Ἀντιόχῳ
„ ἁλουργὲς ἱμάτιον κατὰ τὴν Παλμύραν εἶχον. Αὐ-
„ ρηλιανὸς δὲ ταῦτα ἀκηκοὼς, αὐτόθεν, ὡς εἶχεν,
„ ἐπὶ τὴν Ἑώαν ἐςέλλετο. Καταλαβὼν δὲ τὴν Ἀντιό-
„ χειαν, καὶ ἵππων ἁμίλης ἐπιτελουμένης τῷ δήμῳ
„ φανεὶς, καὶ τῷ ἀπροσδοκήτῳ πάντας ἐκπλήξας,
„ ἐπὶ τὴν Παλμυρηνῶν ἤλαυνεν. Ἀμαχητὶ δὲ τὴν πό-
„ λιν ἑλὼν καὶ κατασκάψας . . . . . . . . . . . . . .
. . . . . . . . „ Θρίαμβον δὲ εἰς τὴν Ῥώμην εἰσαγα-
„ γὼν . . . . . . . . . Ἐν τȣ́τῳ ϗ τὸ τȣ͂ ἡλίȣ δειμά-
„ μενος ἱερὸν μεγαλοπρεπῶς, τοῖς ἀπὸ Παλμύρας ἐκόσ-
„ μησεν ἀναθήμασιν, Ἡλίȣ καὶ *) Βήλȣ καθιδρύσας
„ ἀγάλματα . . . . . . . . . . .

---

Γνωςὸν δ' ἔτι, ὅτι Διοκλητιανὸς ὁ αὐτοκράτωρ Ῥωμαί-
ων, ὅτε διέτριβεν ἐν τῇ Συρίᾳ, οἴκτῳ κινηθεὶς ἐπὶ τῇ
καταςροφῇ τῆς Παλμύρας, πολλὰ τῶν οἰκοδομημά-

*) Βῆλος παρὰ Χαλδαίοις ὁ Κρόνος κατὰ Διόδωρον ὧδέπως εἰπόντα „ Ἰδίως δὲ τὸν νῦν ὑπὸ τῶν Ἑλλήνων Κρόνον ὀνομαζό-
„ μενον, ἐπιφανέςατόν τε καὶ πλεῖςα καὶ μέγιςα προσημαίνοντα,
„ καλȣ͂σι Βῆλον.

των αὐτῆς ἀνώρθωσεν, ἀνεκαίνισέ τε καὶ κατεκόσμησε· μάλιστα δὲ τὸν τȣ̃ Ἡλίȣ ναὸν, καὶ προνομίοις ἐτίμησεν.

Ἐπὶ τῶν Χρισιανῶν δὲ αὐτοκρατόρων Ῥωμαίων, εἰκάζειν ἔξεϛι, μετρίαν ὑπάρξαι τῆς Παλμύρας τὴν κατάϛασιν μέχρι τȣ̃ ἑβδόμȣ αἰῶνος ἀπὸ Χριϛȣ̃· ἔκτοτε δὲ πολλὰ παθȣ̃σα ἐν τοῖς κατὰ πᾶσαν τὴν Συρίαν ἐμφυλίοις τῶν *) Σαρακηνῶν πολέμοις, τέλος ἠρήμωται· καὶ ἡ μνήμη αὐτῆς τοσȣ́τῳ ζόφῳ λήθης περιείληπτο, ὥϛε, εἰ ὑπῆρξε ποτε ἐν τοιαύτῃ εὐδομονίας καταϛάσει, ἀπίθανον ἢ μυθῶδες δοκεῖν τοῖς ἀκȣ́ουσι.

Χάριτας ὀφείλομεν τοῖς φιλομȣ́σοις, καὶ τῶν παλαιοτήτων ἐραϛαῖς Ἀγγλικοῖς περιηγηταῖς ἐπὶ τῇ ἀκορέϛῳ αὐτῶν ξὺν πολλοῖς τοῖς κινδύνοις περιεργίᾳ· ᾗπερ κινȣ́μενοι, ἠδυνήθησαν πρὸς πολλαῖς ἄλλαις ἀρχαιότησιν, ἰδεῖν τε καὶ ἐξιϛορεῖσαι καὶ τὰ τῆς Παλμύρας μεγαλοπρεπέϛατα ἐρείπια, καὶ οὕτως ἀνακαλέσασθαι τὴν περὶ αὐτῆς μνημην, ὡς ἐκ τῶν ἑπομένων μαθεῖν ἔξεϛι.

---

*) Τῷ 39 ἔτει τῆς αἰγύρας, ἣ διέξεισιν Βȣσῖγγος ὁ Γεωγράφος, συνεκροτήθη πλησίον τῆς Παλμύρας φρικωδεϛάτη μάχη μεταξὺ τῶν Καλίφων Ἀλῆ, καὶ Μοαββιάχ·

Τῷ δὲ 127 ἔτει αὐτῆς τῆς αἰγύρας ἐπολιορκήθη ἡ Παλμύρα ὑπὸ τȣ̃ καλίφȣ Μαρβὰν. καὶ ὅτι κατὰ τὸ 1172 ἔτος ἀπὸ Χριϛȣ̃, ὡς ἱϛορεῖ Βενιαμὶν ὁ Τȣτέλλος, τέσσαρες χιλιάδες Ἑβραίων, κρατήσαντες τῆς Παλμύρας, ἐπολέμων τῷ Σȣλτάνῳ Νȣρεδὶν. . . . . . . . ,,

Κατὰ τὸ 1678. ἔτος Φιλομαθεῖς τινὲς τῶν ἐν Χαλέπ, πόλει τῆς Συρίας, πραγματευομένων Ἄγγλων ἀκέοντες πολλάκις τῶν Βαδουΐνων Ἀράβων περὶ πολλῶν διηγουμένων, καὶ μεγαλοπρεπεςάτων ἐρειπίων, ὡς ἐν τῷ μέσῳ τῆς Συριακῆς ἐρημίας σωζομένων, πόθῳ τρωθέντες, ἐκ ἠμέλησαν εἰς τὴν ἔρημον ἐξορμῆσαι, ὑπ᾽ αὐτῶν δὴ τῶν Ἀράβων συνοδευόμενοι. Περιπεσόντες δὲ καθ᾽ ὁδὸν ἄλλοις Αραψι δυνατωτέροις, καὶ λεηλατισθέντες ὑπ᾽ αὐτῶν, μόλις ζῶντες ἐπανέκαμψαν οἴκαδε. Χρόνε δὲ προϊόντος, μὴ ἀφιςάμενοι τε πόθε καὶ τῆς ἐλπίδος, ἀπόπειραν κατὰ τὸ 1691 ἔτος δευτέραν ποιησάμενοι, ἐκ ἀπέτυχον τε σκοπε· ἀκινδύνως γὰρ φθάσαντες εἰς τὴν Παλμύραν, ἔμειναν ἔκθαμβοι, ἰδόντες τοσαῦτα, καὶ τοιαῦτα, ὅσα ἐκ ἤλπιζον, καὶ οἷα μήτε ἐν τῇ Ἑλλάδι σώζονται, μήτε ἐν τῇ μικρᾷ Ἀσίᾳ, ἐδὲ ἐν τῇ Ἰταλίᾳ· ἅπερ ἐπιςημόνως καὶ ἀκριβῶς θεωρήσαντες, καὶ ἀναθεωρήσαντες, ἐπανελθόντες οἴκαδε, ἐξέδωκαν τύποις τὴν περὶ αὐτῶν ἀφήγησιν ἐν τῷ, „philosophical transaction„ ἐπιγραφομένῳ αὐτῶν συγγράμματι· πάντη δ᾽ ὅμως ὀλίγης ἐπέτυχε παρὰ τοῖς ἀκέσασι τῆς ἀξιοπιςίας τὰ ὑπ᾽ αὐτῶν ἐν αὐτῷ ἱςορηθέντα.

Ἐξ ὅτε δὲ ὁ Ἀγγλικὸς καβαλιέρος Δαυκίνσιος, καὶ ὁ συμπεριηγητὴς αὐτε Βέττας ἐν μηνὶ Μαρτίῳ τε 1751 ἔτους, τῇ προςασίᾳ καὶ συνδρομῇ τε ἀγᾶ τῆς κωμοπόλεως Γασίας ἠδυνήθησαν ἀκινδύνως ἀφικέσθαι εἰς τὴν

Παλμύραν· ἔνθα μετὰ τὴν προαρπάσασαν τὰς ὁράσεις αὐτῶν ἔκςασιν, ἐπί τε τῇ μεγαλοπρεπείᾳ τῶν ὁραθέντων, καὶ ἐπὶ τῇ ἐν αὐτοῖς ἐντελείᾳ τῆς Κορινθιακῆς Ἀρχιτεκτονικῆς τέχνης, ἡσυχίας λαβόμενοι, θεαρήσαντες καὶ ἀναθεωρήσαντες, μετρήσαντές τε ἐπιςημόνως καὶ ἀναμετρήσαντες ἅπαντα, καὶ τὰς ἰχνογραφείας αὐτῶν ἀκριβῶς σχεδιάσαντες, ἔγραψαν τὴν περὶ αὐτῶν ἀφήγησιν· ἣν καὶ μετὰ δύο χρόνους ἐπανακάμψαντες εἰς τὴν Λόνδραν, καὶ τύποις ἐξέδωκαν· οὐ λέλειπταί τις πλέον ἀμφιβολία περὶ τῶν ἐν τῇ Παλμύρᾳ σωζομένων θαυμασίων ἐρειπίων· ἐξ ὧν τινα εἰσὶ τὰ κατιόντα, ὡς ἐν τῇ ἐνταῦθα ἐμπεριεχομένῃ χαλκογραφικῇ εἰκόνι φαίνονται.

---

A. Ἀκρόπολις, ἢ φρούριον, κτίσμα τῶν Σαρακηνῶν.

B. Περίβολος, καὶ ἐρείπια κοινοταφείου.

C. Ἕτερον Φρούριον Ἐρείπιον.

D. Ἕτερος περίβολος κοινοταφείου· ἐξ οὗ ἄρχεται σειρὰ ςύλων, ἀλλήλοις συνδεομένων ςεγάσμασιν ἀκεραίων μαρμάρων, ἐκτεινομένη κατὰ μέσην ῥύμην τῆς πόλεως εὐθείᾳ γραμμῇ εἰς ἑξακοσίας ὀργυιάς· παριςάνουσα τὴν πάλαι ἐν αὐτῇ τῇ Παλμύρᾳ περίφημον ςοὰν, συνεχομένην οὖσαν διὰ καμάρων ἄλλῃ παραλλήλῳ σειρᾷ οἰκίσκων, ἢ ταμείων. ταύτῃ τοι ὑπολαπτέον μετὰ πολλῆς τῆς πιθανότη-

τος, ὅτι ἐν μὲν τοῖς ταμείοις ἐναπετίθεντο τὰ ἐμπορικὰ πλούσια φορτία, ὑπὸ δὲ τὴν στοὰν ὅτι ἐγίγνοντο καθ' ἡμέραν τῶν τε Παλμυρηνῶν, καὶ τῶν ξένων οἱ περίπατοι καὶ τὰ ἐναλλάγματα. Εἰκάσειεν ἄντις τὴν στοὰν ταύτην, κατὰ μόνον τὸν σχηματισμὸν, ταῖς ἐν τῇ Βενετίᾳ λεγομέναις προκουρατείαις, μετὰ τῶν συνεχομένων αὐταῖς καφεπωλείων.

E. Παλάτιον τοῦ Διοκλητιανοῦ.

F. Ἕτερα ἐρείπια κοινοταφείου.

G. Κίονες ἀποτελοῦντες τὸ περιστύλιον ναοῦ τινος.

H. Μεγίστης οἰκοδομῆς μεγαλοπρεπέστατόν τι μέρος.

I. Ἐρείπιον Χριστιανῶν ἐκκλησίας.

K. Σειρὰ στύλων ἐν τῷ προπυλαίῳ μεγάλης οἰκοδομῆς.

L. Βάσεις κιόνων εἰς γῆν ἐρριμμέναι.

M. Περιοχὴ ναοῦ τινος, καὶ μέρος περιστυλίου.

N. Ἐρείπιον ναοῦ.

O. Ἑτέρα σειρὰ στύλων.

P. Τέσσαρες μέγιστοι καὶ θαυμάσιοι στύλοι.

Q. Περιστύλιον ἄλλου ναοῦ.

R. Τέλος τῶν στύλων τῆς ἤδη ῥηθείσης στοᾶς.

S. Εἷς μέγιστος στύλος.

T. Ἐρείπιον ναοῦ Σαρακηνῶν· καὶ πρὸς αὐτῷ Ἐλαιών.

X. Ὁ μεγαλοπρεπέστατος ναὸς Θεοῦ Ἡλίου. Περὶ αὐτοῦ τοῦ ναοῦ ἀρκεῖ εἰπεῖν κατὰ τὸν περιηγητὴν Βολνέην, ὅτι ἡ ἀρχιτεκτονικὴ τέχνη ἀπεκένωσεν ἐν

αὐτῷ ἅπασαν τὴν ἑαυτῆς τελειότητα. Τὸ πρόναον αὐτοῦ στηρίζεται ἐπὶ δώδεκα στύλους, καθὼς καὶ τὸ τοῦ τῆς Ἡλιουπόλεως. Ἔνδον δὲ τοῦ ναοῦ πρὸς τοῖς ἄλλοις σώζονται ἐν ταῖς ὑποθολίοις στεφάναις ὁ ἐν σχήματι ἀετοῦ τιμώμενος Θεὸς, καὶ ἄλλων ὀρνέων γλυπτὰ, καὶ τορνεύματα· πρὸς δὲ τῇ πύλῃ κεῖται ἐῤῥιμμένη κατὰ γῆς πέτρα, ἐν ᾗ φαίνονται ἐσχεδιασμένα τὰ ζώδια. —

Ζ. Ὁ περίβολος τοῦ ναοῦ· ἐν ᾧ κατοικοῦσιν ὡσεὶ τριάκοντα φαμιλλίαι Φοινίκων ἐνδεεστάτων, ἐν οἰκίσκοις πνιγηροῖς πλίνθῳ καὶ πηλῷ αὐτοσχεδίως κατεσκευασμένοις· εἰς τοσούτους, αἲ! οἰκήτορας ἀπεκατέστη ἡ ποτὲ πολυανθρωπεία τῆς παλμύρας.

Υ. Τέσσαρες πύργοι Σαρακηνῶν ἔρημοι. καὶ ἄλλα πολλὰ ἐῤῥιμμένα κατὰ γῆς, καὶ πανταχόσε σωροὶ τμημάτων θαυμασίας καλλονῆς καὶ τέχνης.




as




Ερείπια Παλμύρας ἐν τῇ ἐρήμῳ τῆς Συρίας.

. Γ) Τῆς πόλεως Ἐμέσσης, ἢ Ἐμέσσȣ (Τόμσ τὰ νῦν ὑπὸ τῶν Ἀράβων λεγομένης) μνημονεύȣσιν ὅ, τε Ζωσιμᾶς ὁ Κόμης, ὡς ἀνωτέρω ἐν τῷ περὶ Παλμύρας εἴρηται, καὶ Ἡρωδιανὸς ὧδέ πως.

„ Μαισὰ ἦν τις τȣ̈νομα, τὸ γένος Φοίνισσα ἀπὸ Ἐμέσ-
„ σȣ οὕτω καλȣμένης πόλεως ἐν Φοινίκῃ· ἀδελφὴ δ᾽ ἐγεγό-
„ νει Ἰουλίας μὲν τῆς Σευήρȣ γυναικὸς, Ἀντωνίȣ δὲ μητρὸς „

Ἀπέχει ἡ Ἔμεσσα τῆς Ἡλιουπόλεως ὡσεὶ δύο ἡμερῶν ὁδόν. Ἀμφότεραι δὲ αὗται αἱ πόλεις ὡς πλεῖον τῶν ἄλλων πόλεων γειτνιάζȣσαι τῇ Παλμύρᾳ, ἑπομένως πλείστην ἔχον ἀπὸ τῶν ἐν αὐτῇ γιγνομένων ἐμπορευμάτων καὶ τὴν ὠφέλειαν.

# (.S.)

## Περὶ Σουλιώτων.

Σουλιῶται, ἀντὶ τοῦ Συλίονες, καὶ Σούλιο, ἀντὶ Σύλιον. Οἱ Συλίονες κατὰ τὸν Ριανὸν μοῖρα ἦσαν (A) Χαονίας, καὶ νῦν τυγχάνουσι, καί τοι φορᾷ τοῦ καιροῦ, καὶ ὑπὸ συμφορῶν εἰς ὀλίγον τὰ νῦν ἀριθμόν, καὶ ἐν ὀλίγοις ὑπερδεξίοις περιορισθέντες χωρίοις, τοῦ πλείστου τῶν ἐν τοῖς χθαμαλοτέροις ὁμοεθνῶν χωρίων, τῶν τῇ Ἀμφιλοχίᾳ γειτνιαζόντων, καὶ ἄλλων τῶν πρὸς τῇ Θεσπρωτίᾳ κειμένων, τῷ τῆς δουλείας ζυγῷ ὑποκύψαντος· Ἔνδοξοι τὸ πάλαι χρηματίσαντες, ἀβασίλευτοί τε καὶ μαχιμώτατοι, καὶ δι' ἀρετῆς διαδοχῇ τῶν ἐπιγιγνομένων ἐλευθέραν μέχρι τοῦδε τοῖς ἀπογόνοις τὴν αὐτονομίαν παραδόντες, ἀσυγκρίτως τὰ νῦν σφᾶς αὐτοὺς ἐναπέφηναν ἐνδοξοτέρους, ἅτε ἐν δρακὶ, ὡς εἰπεῖν, μαχητῶν, καὶ ἐν πολλῇ πολλάκις τῇ τῶν ἀναγκαίων ἀπορίᾳ, ἐν δυσί που κατὰ συνέχειαν δεκαετίαις, οὐ μόνον ἀντιστῆναι πολυαρίθμοις, καὶ μαχίμοις πολεμίοις ἐξαρκέσαντες, ἀλλὰ πολλά τε καὶ ὑπερένδοξα μέχρι τοῦδε στήσαντες τρόπαια.

(Α) Ἡ Χαονία κατὰ Στέφανον τὸν Βυζάντιον μέρος ἦν τῆς Ἠπείρου· ἐμπεριέχεται γὰρ κατά τινα ἄκραν τὴν πρὸς ταῖς κατὰ θάλασσαν ὑπωρείαις τῶν Κεραυνίων ὀρέων κειμένην, ὑπὸ τοῦ Ἰονίου κόλπου, καὶ τῆς Θεσπρωτίας Β), τῆς τε (Γ) Μολοσσίας, καὶ τῆς Κασσιοπαίας, ἀρχομένη μὲν ἀπ' αὐτῶν τῶν ὀρέων, παρατείνουσα δὲ ἐν στενότητι μέχρι τῶν ὁρίων τῆς Ἀμφιλοχίας (τῆς νῦν Ἄρτης).

Ὁ δὲ Σκύλαξ ἐν τῷ αὐτοῦ περίπλῳ φησὶν οὕτως.

„Μετὰ δὲ Ἰλλυριοὺς Χάονες. ἡ δὲ Χαονία ἐστὶν εὐ-
„λίμενος. οἰκοῦσι δὲ κατὰ κώμας οἱ Χάονες· πε-
„ρίπλους δὲ τῆς Χαονίας ἥμισυ ἡμέρας„

„Μετὰ δὲ τὴν Χαονίαν νῆσός ἐστι Κόρκυρα . . . . . . .
„ἐπιβάλλει δὲ ἡ Κόρκυρα καὶ ἐπὶ τὴν Χαονίαν„

Καὶ Σκύμνος ὁ Χῖος.

„Ἔπειτα Θεσπρωτῶν τε καὶ τῶν Χαόνων
„Ἔθνη κατοικεῖ βάρβαρ' οὐ πολὺν τόπον.
„Κέρκυρα νῆσος δ' ἐστὶ κατὰ Θεσπρωτίαν.

Καὶ ἐν τῇ τῶν Στράβωνος γεωγραφικῶν ἐπιτομῇ.

„Εἶτα Βαλλιακὴ πόλις, καὶ τὰ Κεραύνια ὄρη, καὶ
„Χάονες, ἡ ἀρχὴ τοῦ Ἰονίου Κόλπου, καὶ νῆσος Σασῶ.

Καὶ Μελέτιος ὁ Ἀθηνῶν.

„Αἱ πόλεις τῆς Ἠπείρου ἦταν, εἰς μὲν τὴν Χαονίαν (ἡ
„ὁποία χώρα, ἤτοι ἡ σμικρωτέρα ἐπαρχία λέγεται κοινῶς

„ τώρα Δέλβινον καὶ Χειμάρα) τὴν κληθεῖσαν ἀπὸ
„ Χάονος, υἱοῦ τȣ̃ Πριάμȣ . . . . . . . . Οἱ Χάονες
„ κατὰ τὸν Θεόπομπον παρὰ Στράβωνι ἐςάθησαν
„ οἱ ἐνδοξότεροι τῶν 14 ἐθνῶν τῆς Ἠπείρȣ . . . . .
„ Ὤρικον πόλις παραθαλασσία . . . . . . Πάνορ-
„ μος . . . . . Ὄρχισμος λιμὴν, λέγεται κατάτινας
„ Σοποτὸν, καὶ παρ᾽ ἄλλων οἱ ἅγιοι σαράντα.

---

Οἱ Συλιόνες ȣ̃ν ὅτι μοῖρα ἔθνȣς ἦσαν Χαονικȣ̃, ὁμολογȣ́μενον· ὅτι δὲ ὑπῆρχον καὶ γείτονες, καὶ ὅμοροι κατὰ τόπȣς οὐ μόνον τῇ Ἀμφιλοχίᾳ (ἅτε ἐν τοῖς μεθορίοις οἰκȣ̃ντες) ἀλλὰ καὶ τοῖς Ἀμπρακιώταις, καὶ ἄλλοις ἔθνεσι πλησιοχώροις, καὶ τȣ̃το ȣ̓κ ἀμφίδοξον, ὡς ἀπὸ τῶν Θȣκυδίδȣ κατιόντων εἰκάζειν ἔχομεν, ȣ̓δέπως αὐτῶν μνημονεύσαντος.

ξή „ Οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν εἰς τȣ̀ς Ἀρ-
„ γείȣς (τουτέςι τȣ̀ς Ἀμφιλόχȣς) ἀπὸ τȣ̃ ἀνδρα-
„ ποδισμȣ̃ αὐτῶν ἐποιήσαντο· ὕςερον δὲ ἐν τῷ πο-
„ λέμῳ τήνδε τὴν ςρατιὰν ποιȣ̃νται αὐτῶν καὶ Χαό-
„ νων, καὶ ἄλλων πλησιοχώρων βαρβάρων . . . .

σ΄. Τοῦ δ᾽ αὐτοῦ θέρȣς, οὐ πολλῷ ὕςερον τȣ́των,
„ Ἀμπρακιῶται καὶ Χάονες βȣλόμενοι Ἀκαρνανίαν
„ πᾶσαν καταςρέψασθαι, καὶ Ἀθηναίων ἀποςῆσαι . . .
„ . . . . . . . Καὶ αὐτῷ (τῷ Κνήμῳ) παρῆσαν
„ Ἑλλήνων μὲν, Ἀμπρακιῶται, καὶ Λευκάδιοι, καὶ

„ Ἀνακτόριοι, καὶ οὓς αὐτὸς ἔχων ἦλθε, χίλιοι
„ Πελοποννησίων· βάρβαροι δὲ, Χάονες *) χίλιοι
„ ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ
„ τοῦ ἀρχικοῦ γένους **) Φώτιος καὶ Νικάνωρ. Ἐστρα-
„ τεύοντο μετὰ τῶν Χαόνων καὶ Θεσπρωτοὶ ἀβασί-
„ λευτοι. „

σπά. „ Καὶ τὸ μέσον μὲν ἔχοντες προσήεσαν Χάονες, καὶ
„ οἱ ἄλλοι βάρβαροι. ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι,
„ καὶ Ἀνακτόριοι, καὶ οἱ μετὰ τούτων. „

Ἰδοὺ διὰ τὴν γειτνίασιν, συνήθη τε δίαιταν, καὶ τῶν ἠθῶν Ὁμοιότητα τὰ ὅμορα, καὶ ἀβασίλευτα ἔθνη, προθύμως καὶ συνεστρατεύοντο, καὶ συνέπραττον.

---

*) Οἱ τῆς Χαονίας βάρβαροι κάτοικοι (τουτέστιν ἀλλόγλωσσοι) Τζάμ καὶ Τζάμιδες τὰ νῦν καλοῦνται· ἴσως αὐτᾷ δὴ τῷ βαρβαρικῷ ὀνόματι καὶ τὸ Πάλαι αὐτοὶ ἑαυτοὺς οὕτως ὠνόμαζον, οἱ δὲ Ἕλληνες ἐξελληνίζοντες τὸ βάρβαρον τζα εἰς χα, Χάονας ἐκάλουν. Πιστοῦται ταύτην μου τὴν εἰκασίαν καὶ τὸ Ἀντζέμιδες (οἱ Πέρσαι) εἰς τὸ, Ἀχαιμενῖδαι, ὑπὸ τῶν ἀρχαίων, ἥ φησι Κοραῆς, ἐξελληνισθέν.

**) Περιεργίας τε καὶ σημειώσεως καὶ τοῦτο ἄξιον· ὅτι ὁμωνυμία, διάλεκτος ἡ αὐτὴ, καὶ κατάστασις ὁμοία δύο ὁμογενῶν ἀνδρῶν, μεταξὺ δύο χιλιάδων πρὸς τοῖς διακοσίοις καὶ ἐπέκεινα χρόνων· Φώτιος ἐπὶ Θουκυδίδου ἀρχηγὸς τῶν Χαόνων, Φώτιος καὶ ἐφ' ἡμῶν ἀρχηγὸς τῶν Χαονικῶν Συλιόνων, καὶ ἐξ ἀρχικοῦ γένους ἀμφότεροι.

(B) Τὸ πλεῖστον μέρος τῶν παραθαλασσίων τῆς Ἠπείρου, τῶν ἐν τῷ Ἰονικῷ πελάγει ἀντικρὺς τῆς Κερκύρας κειμένων, ὑπὸ τῷ ὀνόματι Θεσπρωτὶς, ἢ Θεσπρωτία ἐγνωρίζοντο, ὡς παρὰ Θουκυδίδῃ. „Ὁρμίζονται εἰς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. „

## Καὶ ἀλλαχοῦ.

„ Ἐπεὶ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι „ εἰς τὴν γῆν, πρὸς τὰ ναυάγια, καὶ τοὺς σφετέ„ ρους νεκροὺς ἐτράποντο, καὶ τῶν πλείστων ἐκράτη„ σαν, ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα· οἷ αὐτοῖς „ ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθή„ κει· ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἔ„ ρημος. „

## Καὶ παρ' Ὁμήρῳ ( Ὀδ: ξ)

„ Ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε. τύχησε γὰρ ἐχομένη νηῦς
„ Ἀνδρῶν Θεσπρωτῶν εἰς Δουλίχιον πολύπυρον.

## Καὶ Μελέτιος φησί.

„ Μετὰ δὲ τὴν Μολοσσίαν καὶ Χαονίαν ἕπεται, οἷον „ εἰπεῖν, ἀπὸ Μεσημβρίας ἡ Θεσπρωτία, καὶ ἡ „ Ἀλμήνη· αἱ ὁποῖαι κοινῶς λέγονται τώρα παρακά„ λαμο, καὶ ὁ ἐπίσκοπος αὐτῶν καλεῖται Βουθρωτοῦ „ τοῦ καὶ Γλυκέως.

(Γ). Η᾽ δὲ Μολοσσία, ἡ Βορειοτέρα, ἐςὶ τῆς Η᾽πείρȣ ἐπαρχία· ἀποπερατȣμένη κατὰ μὲν τὰ Βόρεια ὑπὸ τῆς Ο᾽ρεςίδος (τῆς νῦν Αὐλῶνα λεγομένης)· ἐξ Α᾽νατολῶν δὲ ὑπὸ τῆς κατωτέρας Μακεδονίας, καὶ τῆς Περραιβίας. καὶ ὅτι ἡ Μολοσσία αὐταῖς γειτνιάζει, καὶ ἀπὸ τῶν κατιόντων προσπειϑῆναι ἔξεςι.

Θȣκυδίδης. — Μολοσσȣ̃ς δ᾽ ἦγε, καὶ Ἀντιτάνας Σαβύλινθος, ἐπίτροπος ὢν Θάρυπος τȣ̃ βασιλέως, ἔτι παιδὸς ὄντος· καὶ Παῤῥαβαίȣς Ο᾽ροιδος βασιλεὺς ὤν· Ο᾽ρέςαι δὲ χίλιοι, „ ὧν ἐβασίλευεν Α᾽ντίοχος, μετὰ Παῤῥαβαίων συνεςρατεύοντο „ Ο᾽ροίδῳ, Α᾽ντιόχȣ ἐπιτρέψαντος. Ε᾽πεμψε δὲ καὶ Περδικας, „ κρύφα Α᾽ϑηναίων, χιλίȣς Μακεδόνων.

Ι᾽δȣ̀ καὶ ἐνταῦϑα αὐτὰ τὰ ὅμορα, ὑπεξȣ́σιά τε ἔϑνη ἀχωρίςως καὶ συνεςρατεύοντο. Πρὸς δὲ, ὁ βασιλεὺς Μακεδόνων Περδίκας ȣ̓κ ἂν δι᾽ ἄλλης τότε ἠδύνατο χώρας, τὴν βοήϑειαν τοῖς Κορινϑίοις κρυφῆ πέμψαι, εἰ μὴ διὰ τῆς τῇ Μακεδονίᾳ ὁμόρȣ, καὶ φιλίȣ τοῖς Κορινϑίοις Μολοσσίας.

---

Βαρβάρȣς ὠνόμασε Θȣκυδίδης τȣ̀ς ἔν τε τῇ Ταυλαντίᾳ, καὶ ἐν τῇ Η᾽πείρῳ σποράδην οἰκȣ̃ντας Ι᾽λλυριȣ̀ς, ὡς ἀλλογλώσσȣς ὄντας, ἤγȣν μὴ Ε᾽λληνίζοντας, κατὰ τὸ „ πᾶς μὴ Ε᾽λλην βάρβαρος „ κατὰ δὲ τὴν χρῆσιν τὸ, βάρβαρος, πολλῶν σημαντικὸν, καὶ ἐπὶ κακȣ̃ ἁπάντων·

---

Ἀναμφίβολον, ὅτι αὐτόχθονες, καὶ τῶν Ἑλλήνων ἀρχαιότεροι οἰκήτορες τῆς τε Ταυλαντίας (τῆς νῦν νέας Ἠπείρου λεγομένης) καὶ οὐκ ὀλιγοστοῦ μέρους καὶ τῆς παλαιᾶς Ἠπείρου ἦσαν, καὶ εἰσὶν οἱ ἀλλόγλωσσοι Ἰλλυριοὶ, ὡς παρ' αὐτοῦ Θουκυδίδου μανθάνομεν, ἱστορήσαντος οὕτως·

„ Ἐπίδαμνος, ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰό-
„ νιον κόλπον. Προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρ-
„ βαροι Ἰλλυρικὸν ἔθνος· ταύτην, ἀπῴκισαν μὲν Κερ-
„ κυρέοι, οἰκιστὴς δὲ ἐγένετο Φάλιος Ἐρατοκλείδου
„ Κορίνθιος, γένος τῶν ἀφ' Ἡρακλέους. „

## Καὶ ἀλλαχοῦ.

„ Ἐπὶ τῇ Λευκίμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν,
„ καὶ Ζακυνθυνίων χίλοι ὁπλῖται βεβοηθηκότες. Ἦσαν
„ δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ Ἠπείρῳ πολλοὶ τῶν
„ βαρβάρων παραβεβοηθηκότες· οἱ γὰρ ταύτῃ Ἠ-
„ πειρῶται ἀείποτε αὐτοῖς φίλοι εἰσίν.

## Καὶ ἀλλαχοῦ.

Ἄργος τὸ Ἀμφιλοχικὸν, καὶ τὴν Ἀμφιλοχίαν
„ τὴν ἄλλην ἔκτισε μετὰ τὰ Τρωϊκὰ, οἴκαδε ἀναχωρή-
„ σας, καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει
„ Ἀμφίλοχος ὁ Ἀμφιάρεω ἐν τῷ Ἀμβρακικῷ κόλ-
„ πῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας·
„ καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας, καὶ

„ τὲς δυνατωτάτες εἶχεν οἰκήτορας. Ὑπὸ ξυμφο-
„ ρῶν δὲ πολλαῖς γενεαῖς ὕςερον πιεζόμενοι, Ἀμβρα-
„ κιώτας ὁμόρες ὄντας τῇ Ἀμφιλοχίᾳ, ξυνοίκες ἐ-
„ πηγάγοντο, καὶ Ἑλληνίθησαν τὴν νῦν γλῶσσαν
„ τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων.
„ Οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροί εἰσιν. „

Καὶ παρὰ Σκύμνε τε Χίε.

„ Ἡ δ᾽ Ἰλλυρὶς μετὰ ταῦτα παρατείνεσα γῆ
„ Ἔθνη περιέχει πολλά· πλήθη γὰρ συχνὰ
„ Τῶν Ἰλλυρίων λέγεσιν εἶναι· καὶ τὰ μὲν
„ Αὐτῶν κατοικεῖν τὴν μεσόγυιον νεμόμενα.
„ Τὰ δὲ τὴν παράλιον ἐντὸς ἐπέχειν Ἀδρίε.
„ Καί τινα μὲν αὐτῶν βασιλικαῖς ἐξεσίαις
„ Ὑπήκοα εἶναι, τινὰ δὲ καὶ μοναρχίαις,
„ Τὰ δ᾽ αὐτονομεῖσθαι . . . . . . . . . .
„ . . . . . . . . . . . . . . . . . . . .
„ Φάρος δὲ τούτων ἐκ ἄποθεν κειμένη
„ Νῆσος, παρίων κτίσις ἐςίν. ἥτε λεγομένη
„ Μέλαινα Κέρκυρ᾽, ἣν Κνίδιοι κατῴκισαν.
„ Ἔχει δὲ λίμνην εὖ μάλ᾽ ἡ χώρα τινὰ
„ Μεγάλην, παρ᾽ αὐτοῖς τὴν Λυχνίτην λεγομένην.
„ Προσεχὴς δὲ νῆσός ἐςιν, ἓ φασί τινες
„ Ἐλθόντα Διομήδην ὑπολιπεῖν τὸν βίον·
„ Ὅθεν ἐςὶ Διομήδεια ταύτῃ τοὔνομα.
„ Ὑπὲρ δὲ τέτες εἰσὶ βρύγοι βάρβαροι.
„ . . . . . . . . . . . . . . . . . . . .
„ Οἷς πλησιόχωρός ἐςιν Ἀπολλωνία

„ Κορινθίων, Κερκυρέων τε κτίσις.
„ Ἑλληνὶς Ὤρικός τε παράλιος πόλις.
„ Ἐξ Ἰλίȣ γὰρ ἐπανάγοντες Ἐυβοεῖς
„ Κτίζουσι, κατενεχθέντες ὑπὸ τῶν κυμάτων.
„ Ἔπειτα Θεσπρωτῶν τε καὶ τῶν Χαόνων
„ Ἔθνη κατοικεῖ βάρβαρ' οὐ πολὺν τόπον.
„ Κέρκυρα νῆσος δ' ἐςὶ κατὰ Θεσπρωτίαν.
„ Μετὰ δὲ Θεσπρωτȣ̀ς Μολοττοί . . . . .
„ . . . . . . . . . . . . . . ἥ τε Δωδώνη Διὸς
„ Μαντεῖον· Ἵδρυμ' ἐςὶ δ' ȣ̃ν πελασγικόν.
„ Ἐν τῇ μεσογείῳ δ' εἰσὶ μιγάδες βάρβαροι.

Καὶ ȣ̓ μόνον ἐν τῇ Ἠπείρῳ, ἀλλὰ καὶ μέχρι τῆς Βοιωτίας κατῴκȣν σποράδην τὸ πάλαι οἱ βάρβαροι Ἰλλυριοὶ (ȣ̓ γὰρ ἄλλο γένος βαρβάρων, ἐκτὸς τῶν Ἰλλυριῶν, κατῴκει ἐν τῇ Ἑλλάδι) ὡς παρὰ Πλȣτάρχῳ.

„ Περιπόλτας ὁ μάντις ἐκ Θετταλίας εἰς Βοιωτίαν
„ Ὀφέλταν τον βασιλέα, καὶ τȣ̀ς ὑπ' αὐτῷ λαȣ̀ς κα-
„ ταγαγὼν, γένος εὐδοκιμῆσαν ἐπὶ πολλȣ̀ς χρόνȣς κα-
„ τέλιπεν· οὗ τὸ πλεῖςον ἐν Χαιρωνείᾳ κατῴκησεν, ἣν
„ πρώτην πόλιν ἔχον, ἐξελάσαντες τȣ̀ς βαρβάρȣς.„

Αὐτοῖς δὲ τοῖς ἀνέκαθεν ἔν τε τῇ Ταυλαντίᾳ, καὶ ἐν τῇ Ἠπείρῳ οἰκοῦσιν Ἰλλυρικοῖς ἔθνεσι προσῴκησαν κατὰ διαφόρȣς καιρȣ̀ς, ἢ καὶ συνῴκησαν, καὶ συνέμιξαν καὶ ἄλλα βάρβαρα ἔθνη, ὡς ἐκ τῶν ῥηθησομένων εἰκάσαι ἔπεςιν.

Ἱςορούμενον, ὅτι ἐν τοῖς ἀρχαιοτάτοις καιροῖς γένος βάρβαρον Ἀσιατικὸν ἐξ ὑπερβορείων Γαλάται καὶ Γάλλοι καλούμενον, διὰ ἀπορίαν τῶν πρὸς τὸ ζῆν,

πολλαῖς μυριάσι μετὰ τῶν οἰκείων, καὶ τῶν θρεμμάτων αὐτῶν διέβησαν εἰς τὴν Εὐρωπαίαν Σκυθίαν· ἐκεῖθεν δὲ διελάσαντες τὴν Γερμανίαν, κατέσχον τὴν ἐξ αὐτῶν κληθεῖσαν Γαλλίαν (τὴν νῦν Φράνσαν) καὶ *) ἄλλας ἐπαρχίας τῆς Κελτικῆς.

Πολλῷ πολλαῖς δὲ γενεαῖς ὕστερον τούτων, ὅτι καὶ ἕτερον πλῆθος Γαλατικοῦ ἔθνους ἐκ τῶν Βορείων περάσαντες τὸν Δανούβιον ποταμὸν, προσεῤῥύησαν εἰς τὴν Θράκην. Ἔνθεν δὲ, χωρισθέντες εἰς δύο, οἱ μὲν περαιωθέντες τὸν Ἑλλήσποντον, κατέσχον τὴν Φρυγίαν, τὴν ἐξ αὐτῶν Γαλατίαν μετονομασθεῖσαν. Οἱ δὲ ὑπόλοιποι ἐκ τῆς Θράκης πολλῇ τῇ ῥύμῃ εἰς τὴν

---

*) Πλούταρχος. „Οἱ δὲ Γαλάται τοῦ Κελτικοῦ ὄντες „γένους ὑπὸ πλήθους λέγονται τὴν αὑτῶν ἀπολιπόντες, „οὐκ οὖσαν αὐτάρκη τρέφειν ἅπαντας, ἐπὶ ζήτησιν „ἑτέρας ὁρμῆσαι. Μυριάδες πολλαὶ γενόμεναι νέων „ἀνδρῶν καὶ μαχίμων, οἱ μὲν ἐπὶ τὸν Βόρειον Ὠκε„ανὸν, ὑπερβαλλόντες τὰ (xx) Ῥίπαια ὄρη, ῥυῆναι, „καὶ τὰ ἔσχατα τῆς Εὐρώπης καταλαβεῖν· οἱ δὲ „μεταξὺ Πυῤῥήνης ὄρους, καὶ τῶν Ἄλπεων ἱδρυθέν„τες, ἐγγὺς Σεννώνων καὶ Κελτορίων κατοικεῖν πολὺν „χρόνον.

(xx) Ῥίπαιον, κατὰ Στέφανον τὸν Βυζάντιον, ὄρος ὑπερβορέων. Ῥίπαια δὲ παρὰ Μελετίῳ, ὄρη τὰ ἐν τοῖς Βορείοις τῆς μεγάλης Ταρταρίας· ἅτινα ὑποθετέα εἶναι τὰ ἐν ταῖς χάρταις σειραὶ Ἀλταΐτων, ἢ Γεννησαίων καλούμενα, τὰ τὴν Σιβιρίαν καὶ τὴν Κινεζικὴν Ταρταρίαν ἀπὸ τῆς Αὐτονόμου ἀφορίζοντα.

Μακεδονίαν, καὶ Ἑλλάδα (ἐν τῷ 278 ἔτει πρὸ Χριϛοῦ) εἰσβαλόντες, ἀπείρου τῷ αἰφνιδίῳ ἅπαντας ἐνέπλησαν φόβȣ, ληϊζόμενοι ϗ φθείροντες τὰ καθ᾽ ὁδὸν, καὶ τοὺς ἀμυνομένȣς κτείνοντες, μέχρι τῆς Βοιωτίας· οἱ δὲ Ἕλληνες τέως ἐκ τῆς ἀνελπίϛȣ ἀνανήψαντες ταραχῆς, ὁμοφρονήσαντες, ἐπέπεσον τοῖς Γαλάταις, ϗ ἐτρέψαντο πολλῷ φόνῳ. τοὺς δὲ ἐκ τῆς μάχης σωθέντας ἐδίωκον, κατακόπτοντες προτροπάδην φεύγοντας, μέχρι τῶν τῆς Ταυλαντίδος ὁρίων· ἔνθα διεκπεσόντες οἱ διασωθέντες οὐ πολλοὶ τῶν βαρβάρων, πέμψαντες ᾐτήσαντο γῆν καὶ ὕδωρ, τουτέϛι τόπον εἰς κατοικίαν· καὶ οὐκ ἀπέτυχον τῆς αἰτήσεως, τῶν Ἑλλήνων ὑπ᾽ ἀνάγκης, διὰ τὸ ἀναϛάτȣς πολλῶν γενομένας τὰς πατρίδας ταχείας χρήζειν τῆς συνδρομῆς καὶ τῆς ἐπανορθώσεως, φιλοτιμησαμένων συγχωρῆσαι αὐτοῖς αὐτȣ̃ που κατοικῆσαι. Μνημονεύεται αὕτη ἡ τῶν Ἑλλήνων νίκη καὶ παρὰ Πλουτάρχῳ ἐν τῷ Κίμωνος βίῳ ὧδέ πως. „Καὶ τοῖς Γαλατικοῖς ἀγῶσιν ἀφειδήσαντες ἑαυτῶν.„ ἤγȣν οἱ Χαιρωνεῖς, ὅτι αὐτοί τε ϗ οἱ πρόσοικοι αὐτῶν πλεῖον τῶν ἄλλων ἐν τῷ τότε ἔπαθον Ἑλλήνων.

Ἐκεῖνοι ȣ̃ν τῶν Γαλατῶν, οἱ τότε σωθέντες, ϗ τῇ Ταυλαντίᾳ προσοικήσαντες, ἴσως διασπαρέντες καὶ συνῴκησαν κατὰ διαφόρȣς τόπȣς τοῖς Ἰλλυριοῖς. Αὐτῶν δὴ τῶν Γαλατῶν ὑποληπτέοι ὁμογενεῖς εἶναι οἱ παρὰ τῷ αὐτῷ συγγραφεῖ ἐν τῷ Πύῤῥȣ βίῳ

μνημονευόμενοι Γαλάται, οἱ ὑπὸ τῷ βασιλεῖ τῶν Μακεδόνων, εἶτα δὲ καὶ ὑπ' αὐτῷ τῷ Πύῤῥῳ ἐπὶ μισθῷ στρατευόμενοι, ὡς ἀξιούμενοι ἐν τῷ τότε μαχιμώτεροι εἶναι τῶν Ἰλλυριῶν. ἔφη δὲ Πλούταρχος οὕτως.

,, Οἱ δὲ ἐπὶ ταῖς οὐραγίαις τεταγμένοι Γαλάται τοῦ
,, Ἀντιγόνου, συχνοὶ τὸ πλῆθος ὄντες, ὑπέστησαν ἐῤῥω-
,, μένως· καὶ καρτερᾶς μάχης γενομένης, τούτων μὲν οἱ πλεῖ-
,, στοι κατεκόπησαν. Ὁ δὲ Πύῤῥος εὐτυχήμασι τοσού-
,, τοις μέγιστον αὐτῷ πρὸς δόξαν οἰόμενος διαπεπρᾶχ-
,, θαι τὸ περὶ τοὺς Γαλάτας, τὰ κάλλιστα, καὶ λαμ-
,, πρότατα τῶν λαφύρων ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς
,, Ἰτωνίδος Ἀθηνᾶς, τόδε τὸ ἐλεγεῖον ἐπιγράψας.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασε Γαλατῶν,
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα.
Αἰχμηταὶ καὶ νῦν, καὶ πάρος Αἰακίδαι.

καὶ κατωτέρω.

,, Σκότους δὲ πολλοῦ προσμίξας ὁ Πύῤῥος τοῖς τεί-
,, χεσιν. . . . . . ἄχρι μὲν τοῦ παρεισπεσεῖν τοὺς
,, Γαλάτας τοὺς παρ' αὐτῷ, καὶ τὴν ἀγορὰν κατα-
,, λαβεῖν, ἐλάνθανεν.,,

Οἱ εἰρημένοι βάρβαροι Ἰλλυριοὶ, οἱ τὸ πάλαι καὶ νῦν ἔντε τῇ Ταυλαντίᾳ, καὶ ἐν τῇ Ἠπείρῳ σποράδην οἰκοῦντες, μετὰ τῶν κατὰ διαφόρους καιροὺς συμμιγέντων, καὶ συνοικησάντων αὐτοῖς ἄλλων βαρβαρικῶν ἐθνῶν, γενικῷ τὰ νῦν ὀνόματι Ἀλβανῖται καλοῦνται, καὶ κοινοτέρως Ἀρβανῖται· αὐτοὶ δὲ ἑαυτοὺς Σκιπαιτάρους ὀνομάζουσι, καὶ τὴν ἑαυτῶν πατρίδα Σκιπαιρίαν, μυσαττόμενοι τὴν τοῦ, Ἀλβανίτης, ἐπίκλησιν, ὡς δῆθεν πρὸς καταφρόνησιν ὑπὸ τῶν Γραικῶν αὐτοῖς προσνεμομένην.

Οὐκ ἔχω ἔγωγε εἰπεῖν ἐν λόγῳ βαβαίας ἱσορίας, διατὶ, καὶ πότε ὠνομάσθησαν Ἀλβανῖται. Ἀνέγνων δὲ πρὸ πολλῶν χρόνων, ἔτι ὢν ἐν τῇ πατρίδι μου (καθόσον ἔχω διαμνημονεύειν) ἔν τινι χειρογράφῳ τεύχει παλαιῷ τε, καὶ ἀνωνύμῳ (Κουβαρᾶς δέ ἰδιωτικῶς αὐτὸ εἶχε τὴν ἐπίκλησιν) ἐν τῇ τοῦ κατὰ νῆσον Ἰωαννίνων μοναστηρίου, τοὐπίκλην Σπανοῦ βιβλιοθήκῃ εὑρισκομένῳ, ὅτι δῆθεν ἐπὶ Ἰουλίου Καίσαρος ἡ Ῥωμαίων διοίκησις πολλοὺς ἀτάκτους, καὶ λῃστρικῶς ζῶντας ἀπὸ τῆς Ἰταλικῆς πόλεως (Ζ) Ἄλβης ἀναστήσαντες, ἐξωστράκισαν εἰς τὰ Ἀκροκεραύνια ὄρη τῆς Ἠπείρου. Οἱ δὲ, ὅτι οὐδὲν ἦσαν ἐξορισθέντες ἀμείνονες, ἀλλ' εὑρόντες καὶ ἄλλους τῶν αὐτόθι Ἰλλυριῶν ὁμοδιαίτους τε, καὶ ὁμόφρονας, καὶ συμμιγέντες αὐτοῖς, μετήρχοντο τὸν συνήθη λῃστρικὸν βίον. Προϊόντος δὲ τοῦ καιροῦ, ὅτι τῷ πλήθει τῶν αὐτοῖς

προσκολλωμένων κακοτρόπων Ἰλλυριῶν ὑπερισχύσαντες, πολλὰς πολλάκις τῆς Ἠπείρου πόλεις καὶ χώρας κατερύχωσαν· καὶ ὅτι ὑπ' ἀρχηγῷ τινι αὐτῶν, Πέτρῳ τοὔνομα, προσβολῇ τὴν πόλιν Ἄρτην κρατήσαντες, ἐλεηλάτησάν τε, καὶ ἠνδραπόδισαν· καὶ ὅτι ἔκτοτε αὕτη ἡ κακὴ μίξις τῶν κακοτρόπων Ἀλβανοϊλλυριῶν διὰ τὰς ἀπείρους αὐτῶν ἀπανθρωπείας ἤρξατο ὑπὸ τῶν προπατόρων ἡμῶν οἱονεὶ Φρίκης σημαντικῷ ὀνόματι Ἀλβανῖται καλεῖσθαι· καὶ πρὸς ἀναστολὴν τῶν τοιούτων Ἀλβανικῶν ἐπιδρομῶν, ὅτι ἐκτίσθη ἡ πόλις Ἰωαννίνων. Αὕτη ἡ τοῦ ἀνωνύμου ἀφήγησις οὐκ ἀμοιρεῖν δοκεῖ τῆς πιθανότητος.

Ὁ δὲ μακαρίτης Μελέτιος ὁ Ἀθηνῶν ἐν τῇ αὐτοῦ γεωγραφίᾳ *) ἄλλως ἱστορεῖ περὶ τῶν Ἀλβανιτῶν, μὴ προσειπὼν τὸ παράπαν τὸν χρόνον τῆς τῶν κατ' αὐτὸν Κελτοαλβανῶν εἰς τὸ Δυῤῥάχιον διαβάσεως, καὶ παρὰ τίνων ἱστορικῶν ἐξέλαβε τὸ τοὺς Κελτοὺς προσεπονομάσαι καὶ Ἀλβανούς.

---

*) Ἔφη δ' οὕτως — „ Ἡ Ἀλβανία, ἤτοι Ἀρβανιτία „ κοινότερον λεγομένη εἶναι τὸ Δυτικὸν μέρος τῆς Μα„ κεδονίας, τὴν ὀνομασίαν λαβοῦσα ἀπὸ τῶν Ἀλ„ βανῶν· οἱ ὁποῖοι δὲν εἶναι ἐκ γένους τῶν Ἰλλυριῶν, „ ὡς τίνες οἴονται, οὔτε ἐκ τῶν Ἀλβανῶν τῶν ἐν τῇ „ Ἀσίᾳ, ἀλλὰ κατάγονται ἐκ γένους Κελτικοῦ· οἱ „ ὁποῖοι ἦλθαν εἰς τὴν Ἰαπυγίαν τῆς Ἰταλίας, „ εἶτα ἐξ αὐτῆς διέβησαν εἰς τὸ Δυῤῥάχιον, κἀκεῖθεν „ διεσπάρησαν.

Παρὰ δὲ Πλουτάρχῳ οὐχ εὑρίσκομέν πȣ τοὺς Κελτȣ̀ς προσεπονομασθέντας καὶ Ἀλβανȣ̀ς. Ἀλλὰ πρὸς πλείονα διάγνωσιν τῆς πιθανότητος οὐ τῶν παρέργων ἂν εἴη ἡ ἐπανάληψις τῆς ἐποχῆς αὐτῶν, ποτὲ μὲν Γαλατῶν, ἄλλοτε δὲ Κελτῶν παρ' αὐτῷ λεγομένων.

Εἴδομεν ἀνωτέρω ἐν τῷ ἐξ αὐτοῦ ἀποσπάσματι τὴν τῶν Γαλατῶν μεταξὺ Πυῤῥήνης καὶ τῶν Ἄλπεων ἐγγὺς Σεννώνων καὶ Κελτωρίων ἵδρυσιν. Ἐξ αὐτῶν ȣ̓̃ν μετὰ πολὺν χρόνον, ἢ αὐτὸς Πλούταρχος προσιστορεῖ, μοῖραι τινες πολυπληθεῖς κατὰ διαφόρȣς καιρȣ̀ς διελάσαντες τὰς Ἄλπεις, κατέσχον, καὶ κατῴκησαν τὴν ἄνω Ἰταλίαν. Παρ' ἄλλων δὲ νεωτέρων ἱστορικῶν μανθάνομεν καὶ τὸν χρόνον τῆς εἰς τὴν Ἰταλίαν τῶν Γαλατῶν διαβάσεως, ὡς καὶ παρὰ τοῦ ἀββᾶ Μηλότȣ ὠδέπως ἐξελληνιζομένȣ.

„ Οἱ Γάλλοι οἱ κατοικήσαντες τὴν Κελτικὴν Γαλλίαν
„ μεταξὺ Σηκονάνας καὶ Γαῤῥόνȣ τῶν ποταμῶν μέχρι
„ τῶν Ἄλπεων διεβησαν εἰς τὴν Ἰταλίαν ἐπὶ Ταρ-
„ κυϊνίȣ τοῦ πρώτȣ. „

Ο῾ δὲ Ταρκυΐνιος ὁ πρῶτος ἤρξατο βασιλεύειν ἐν Ῥώμῃ κατὰ τὸ. 139 ἔτος ἀποκτίσεως αὐτῆς. Μετὰ δὲ παρέλευσιν. 224. χρόνων, ἤγȣν τῷ. 363. ἔτει κατ' αὐτὸν τὸν Μηλότην ἀπὸ κτίσεως Ῥώμης· ἢ τῷ πρὸ Χριστοῦ. 390. ἔτει, ἢ διέζευσιν Ἰάκωβος ὁ Ἀρ-

διαν, συνέβησαν ἥ τε τῶν τῆς ἄνω Ἰταλίας Κελτογαλατῶν ὑπ᾽ ὁδηγῷ τῷ βασιλεῖ αὐτῶν Βρέννῳ κατὰ τῆς Ῥώμης πρώτη ἐκστρατεία, ἥ τε ἅλωσις καὶ ἐμπρησμὸς αὐτῆς, καὶ ἡ παντελὴς τροπὴ αὐτῶν καὶ ἀπώλεια, ὑπὸ Καμίλλου τοῦ δικτάτορος Ῥώμης καταπολεμηθέντων, ὡς ὁ αὐτὸς Πλούταρχος ἱστορεῖ.

„ Ταχὺ δὲ συμφρονήσας ὁ Βρέννος, ἀπήγαγε τοὺς „ Κελτοὺς εἰς τὸ στρατόπεδον, οὐ πολλῶν πεσόντων· „ καὶ νυκτὸς ἀναστήσας ἅπαντας ἐξέλιπε τὴν πόλιν. „ καὶ προελθὼν ἑξήκοντα σταδίους, κατεστρατοπέδευσε „ παρὰ τὴν Σαβινίαν ὁδόν. Ἅμα δὲ ἡμέρᾳ παρῆν „ Κάμιλλος ἐπ᾽ αὐτὸν, ὡπλισμένος λαμπρῶς, καὶ τε„ θαῤῥηκότας ἔχων τοὺς Ῥωμαίους· καὶ γενομένης ἰσχυ„ ρᾶς μάχης ἐπὶ πολὺν χρόνον, αὐτούς τε τρέπεται „ πολλῷ φόνῳ καὶ λαμβάνει τὸ στρατόπεδον. Τῶν δὲ „ φευγόντων οἱ μὲν εὐθὺς ἀνηρέθησαν καταδιωχθέν„ τες, τοὺς δὲ πλείστους διασπαρέντας ἐπεκθέοντες ἐκ τῶν „ πέριξ κωμῶν καὶ πόλεων, ἔκτεινον. Οὕτω μὲν ἡ „ Ῥώμη παραλόγως ἥλω, καὶ παραλογώτερον ἐσώθη, „ μῆνας ἑπτὰ τοὺς πάντας ὑπὸ τοῖς βαρβάροις γε„ νομένη.

Συμφώνως ἱστορεῖ (ἐξελληνιζόμενος) καὶ ὁ Ἀρδιών.

„ Καὶ μεθ᾽ ἡμέρας ὀλίγας ὁ Κάμιλλος συμβαλὼν „ αὐτοῖς πλησίον τῆς Ταβίου πόλεως, ἐτρέψατο, καὶ „ τὸ στρατόπεδον αὐτῶν λαβὼν, ἠφάνισεν ἅπαντας.„

Ὁμοίως καὶ ὁ ἀββᾶς Μηλότης ἱςορῶν τὴν πανςρατὶ ἀπώλειαν τοῦ τε Βρέννε καὶ τῶν ὑπ' αὐτῷ Γάλλων, προσεπιλέγει, ὅτι ἀπελείφθη μηδὲ καἶνεὶς, ἵνα τὴν φθορὰν τοῖς ὁμογενέσιν ἀπαγγείλῃ ταύτην.

---

Μετὰ ταῦτα ἱςορεῖται καὶ δευτέρα τῶν Ἰταλικῶν Κελτογαλατῶν κατὰ τῆς Ῥώμης ἐκςρατεία· καὶ ὅτι ἐκ δευτέρου ὁ Κάμιλλος ἐνίκησεν αὐτὲς καὶ ἐτρέψατο, ᾗ περ προσιςορεῖ προϊὰν αὐτὸς Πλέταρχος οὕτως.

„ Ἀγγελίαι προσέπεσον σαφεῖς Κελτὲς αὖθις ἀπὸ „ τὴν Ῥάμην ἐλαύνειν . . . . . . . . . καὶ φόνος ἦν „ πολὺς τῶν προτακτῶν, φυγὴ δὲ τῶν ἄλλων ἁπαν„ ταχόσε τε͂ πεδίε. Τοὺς γὰρ λόφες καὶ τὰ ὑψηλὰ „ προκατειλήφει Κάμιλλος· τὸ δὲ ςρατόπεδον διὰ τὸ „ θαῤῥεῖν ἄφρακτον ἔχοντες, ἤλεσαν ἐ χαλεπῶς ἁλω„ σόμενον. Ταύτην τὴν μάχην ἔτεσιν ὕςερον τρισκαί„ δεκα λέγεσι τῆς Ῥώμης ἁλώσεως . . . . . . . . . „ ὥςε θέσθαι νόμον ἀφεῖσθαι τὲς ἱερεῖς ςρατείας, χωρὶς ἂν μὴ Γαλατικὸς ᾖ πόλεμος. „

Καὶ ὁ ῥηθεὶς Ἀ'ρδιὼν ἱςορεῖ ταύτην τῶν Γάλλων δευτέραν ἧτταν ὧδέ πως.

„ Ἐπέπεσεν αὐτοῖς, (ὁ Κάμιλλος τοῖς Γάλλοις) καὶ „ ἐτρέψατο, καίτοι εὐρώςως πάνυ ἀνθεςηκότας· ἔνθεν „ πολὺς ἦν αὐτῶν φόνος ἐν τῷ ςρατοπέδῳ, ἤδη ὑπὸ

„ Ῥωμαίοις γενομένῳ. Ὅσοι δὲ αὐτῶν φυγῇ ἠδυνήθη-
„ σαν σωθῆναι, διεσπάρησαν εἰς διαφόρους τόπους,
„ κατ᾽ ἐξοχὴν δὲ εἰς τὰς ἐν Ἰταλίᾳ Ἑλληνικὰς πό-
„ λεις, καὶ εἰς τὴν *) Ἀπουλίαν „

*) Ἐξ αὐτῶν οὖν τῶν εἰς τὴν Ἀπουλίαν διασπαρέντων Κελτῶν, ἴσως μοῖρά τις διαπεραιωθέντες τὸν Ἰόνιον κόλπον κατέφυγον καὶ διεσώθησαν εἰς τὰ τῆς Ταυλαντίας παραθαλάσσια. Ὡς ὀλίγοι δὲ ὄντες, φυγάδες τε καὶ τεταλαιπωρημένοι, ὑποληπτέοι ἐν πολλῇ τῇ πιθανότητι, ὅτι κατεδουλώθησαν ὑπὸ τῶν Ἰλλυριῶν.

# (Z)

## Περὶ τῆς Ἄλβης, ἧς ἐμνημόνευσεν ὁ ἀνώνυμος ἐν τῷ περὶ Ἀλβανιτῶν.

Ἄλβα κατὰ Στέφανον τὸν Βυζάντιον Ἰταλί-
„ας πόλις, ἣν ἔκτισαν οἱ ἀπὸ Λαβινίου Λατῖνοι, Τρῶες
„ὄντες. ὁ πολίτης, Ἀλβανός. καὶ τόπος Ἰταλίας
„Ἀλβανός.

Ἡ αὐτὴ πόλις Ἄλβα παρὰ τῶν Ἀθηνῶν Μελετίῳ λέγεται Ἄλβα Λόγγα, ἀρχαιοτάτη, ὑπὸ Ἀσκανίου κτιθεῖσα· καὶ ὅτι ἐκ τῶν ἐρειπίων αὐτῆς ἐκτίσθη ἡ νῦν πόλις Ἄλβανον λεγομένη, 14. μίλια ἀπέχουσα τῆς Ῥώμης.

Ἄλβα ἄλλη πόλις Ἰταλίας ὁμοίως ἀρχαιοτάτη, ἥτις πόλις ἦν τῶν ἐν τῷ Ἀπρουττίῳ (κοινῶς Ἀμπρούτζῳ) Μάρσων, ἣ διέξεισιν Ἰωσὴφ Μαρία ὁ Γαλάντης, πρὸς τῇ Fuccïnum *) λίμνῃ κειμένη, εἰς ἣν ἐπέμποντο ἐξόρισοι ὑπὸ τῆς Ῥωμαϊκῆς διοικήσεως οἱ κατάδικοι οἱ μὴ θανάτῳ καταδικαζόμενοι.

---

*) Albessium Alba ad Fuccinum lacus.

Εἰσὶ καὶ ἄλλαι καὶ κατ᾽ αὐτὸν Μελέτιον πόλεις αὐτῷ δὴ τῷ ὀνόματι, Ἄλβα, γνωριζόμεναι, νεωτέρων κτίσματα, καὶ ἐπώνυμαί τινες τῶν κτισάντων αὐτάς· οὐκ ἔχουσι μέντοι αὐταὶ τόπον ἐν τῇ τῶν Κελτογαλατῶν ἐποχῇ, ἅτε πολλαῖς ὕστερον γενεαῖς κτισθεῖσαι.

## Οἷαι αἱ ἑξῆς.

Ἄλβα τῶν Κανταβρῶν ἐν τῇ Ἱσπανίᾳ.

Ἄλβα Ἰουλία πόλις Δακίας.

Ἄλβα Αὐγοῦστα πρὸς τῷ Ῥοδανῷ ποταμῷ.

Ἄλβα Πομπηία τοῦ πιεδεμοντίου.

Ἄλβα Ῥέγκλις τῆς Οὐγγαρίας.

Ἄλβα Γραῖκα τὸ κοινῶς Βελιγράδιον.

## Ἀλβανίαι ὁμοίως κατ᾽ αὐτὸν Μελέτιον.

---

Ἀλβανία ἐλέγετο παρὰ τοῖς Πάλαι ἡ Βρεττανικὴ Σκωτία.

Ἀλβανία καὶ τὸ Ἀνατολικὸν μέρος τῆς Γεωργίας. (Ἡ δὲ βασιλὶς Εὐδοκία ἡ Μακρεμβολίτισσα φησὶν, ὅτι τὸ δυτικὸν μέρος τῆς Γεωργίας ἐκαλεῖτο Ἀλβανία, τουτέστιν ἡ Μιγκρελλία, ἡ ἐν τοῖς κατὰ τὸν Εὔξεινον Πόντον ἀποκλίμασι τῶν Καυκασίων κειμένη.)

Ἀλβανία καὶ ἡ καθ᾽ ἡμᾶς ἐν τῇ Ταυλαντίᾳ.

## Περὶ Κελτῶν παρ' αὐτῷ Μελετίῳ ταυτολεξεί.

„ Οἱ πρῶτοι κάτοικοι τῆς Ἱσπανίας ἐςάθησαν οἱ
„ Κελτοὶ . . . . . . . . . . Κελτίβηρες οἱ Ἱσπανοί.

## Καὶ ἀλλαχȣ̃.

„ Πρῶτοι ὅπȣ ἐκατοίκησαν μετὰ τὸν κατακλυσμὸν
„ τὴν Γαλλίαν ὁμοῦ μὲ τὰς ἄλλας ἐπαρχίας τῆς
„ Δυτικῆς Εὐρώπης λέγȣσι νὰ ἐςάθησαν οἱ Κελτοί.

Ὥςε καὶ κατ' αὐτὸν οἱ Κελτοὶ ἦσαν τῶν Γάλλων ἀρχαιότεροι οἰκήτορες τῆς Κελτικῆς. Ἑπομένως οἱ ἐκ τῆς Ἀσίας Γαλάται ὡς καταχόντες καὶ κατοικήσαντες τὴν Κελτικὴν προσεπωνομάσθησαν καὶ Κελτοὶ καὶ Κελτογαλάται, Ἀλβανῖται μέντοι γε οὐδέποτε.

---

Περὶ τȣ̃, διατὶ οἱ Ἀλλόγλωσσοι Ἰλλυριοὶ, οἱ τανῦν Ἀλβανῖται καλȣ́μενοι, ὡς τὸ πάλαι οὕτω καὶ μέχρι τȣ̃δε μεθ' ὅπλων διαπαντὸς ποιȣ̃νται τὴν δίαιταν.

Ἴσως διότι εἰσι δισκίνητοι εἰς τὴν εὐνομίαν. Ὥσπερ γὰρ οἱ *) πρόγονοι αὐτῶν οὐκ ἐμιμήθησαν παντάπασιν τὴν τῶν Ἑλλήνων μετὰ τὰ Τρωϊκὰ εὐνομουμένην

---

*) Θȣκυδίδης· „ Οἱ γὰρ Ἕλληνες τὸ πάλαι, καὶ τῶν „ βαρβάρων οἵ τε ἐν τῇ Ἠπείρῳ παραθαλάσσιοι . . „ . . . . . . . ἐτράποντο πρὸς λῃςείαν, ἡγȣμένων ἀν-

διαγωγὴν, οὕτω καὶ οἱ ἀπόγονοι μέχρι καὶ νῦν ἐμμένουσι τῇ προπατορικῇ κακοτροπίᾳ, ἀπὸ ἁρπαγῆς, λῃστείας τε, καὶ παντὸς εἴδους παρανομίας ὡς ἐπὶ τὸ πλεῖστον ζῶντες, τοὺς προσοίκους καὶ κρύφα, καὶ ἀναφανδὸν, θαμά τε καὶ ἀλλήλους ληϊζόμενοι. Τοιγάρτοι ἕκαστοι ἀλλήλους φοβούμενοι, ἀναγκάζονται καὶ ἐν ὁδοῖς, καὶ ἐν ἀγροῖς, καὶ ἐν πάσαις ταῖς σφῶν αὐτῶν συναναστροφαῖς διὰ παντὸς ὁπλοφορεῖν.

---

„δρᾶν οὐ τῶν ἀδυνατωτάτων, κέρδους τοῦ σφετέρου αὐ-
„τῶν ἕνεκα, καὶ τοῖς ἀσθενέσι τροφῆς· καὶ προσ-
„πίπτοντες πόλεσιν ἀτειχίστοις, καὶ κατὰ κώμας οἰ-
„κουμέναις, ἥρπαζον, καὶ τὸν πλεῖστον τοῦ βίου ἐντεῦ-
„θεν ἐποιοῦντο, οὐκ ἔχοντές πω αἰσχύνην τούτου τοῦ ἔρ-
„γου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. Δηλοῦσι δὲ
„τῶν τε Ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος
„καλὸς τοῦτο δρᾶν . . . . . . . .

## Καὶ ἀλλαχοῦ.

„Ἐλῃΐζοντο δὲ καὶ κατ' Ἤπειρον ἀλλήλους· καὶ μέχρι
„τοῦδε πολλὰ τῆς Ἑλλάδος τῷ παλαιῷ τρόπῳ νέ-
„μεται περί τε Λοκροὺς τοὺς Ὀζόλας, καὶ Αἰτωλοὺς,
„καὶ Ἀκαρνάνας, καὶ τὴν ταύτῃ Ἤπειρον, τό, τε
„σιδηροφορεῖσθαι τούτοις τοῖς Ἠπειρώταις ἀπὸ τῆς πα-
„λαιᾶς λῃστείας ἐμμεμένηκε . . . . . . . . .

---

# ἘΠΙΓΡΆΜΜΑΤΆ ΜΟΥ.

α΄. Τὸ ἐν τῇ ἐπὶ τȣ͂ τάφȣ τῆς μακαρίας συζύγȣ μȣ Ἄννης μαρμαρέῳ πλακὶ χαραχθέν.

Λάϊνον οἰκτρὸς πρὸς χοΐνῳ πόσις ἄχθος ἔθηκα,
Τοῦτ᾽ ἐπὶ σοὶ δῦναι, κᾀυτὸς ὁμῶς ποθέων.

Ὥπερ ἀκόλȣθον τὸ παρὰ τȣ͂ διδασκάλȣ μȣ κυρίȣ Κοσμᾶ ςαλέν μοι. 1798. —

Ὡς ἀπὸ προσώπȣ αὐτῆς.

„Ἔδνα λίθȣς πόρες, ὦ πόσι, ἠδ᾽ ἐπιτύμβιον, εὖγε,
Κείνȣς μὲν ζώσῃ, τὸν δὲ ἀποιχομένῃ.

Εἰς τὸν υἱόν μȣ. 1806.—

| | |
|---|---|
| β'. Γρηγορίῳ τε γόνῳ τόδε σῆμα 1) πατὴρ ἀνέθηκα,<br>Ἧ πάρος, αἴ αἴ! τῇ τȣτονὶ γειναμένῃ.<br><br>Ἄλλως<br><br>γ'. Γρηγορίῳ τε γόνῳ τοῖον γέρας 2) οἰκτρὸς ἔθηκα,<br>Ἧ πάρος, αἴ αἴ! τῇ αὐτοῖο μητρὶ φίλῃ. | ἐξ ὧν τό γ. κεχάρακται σὺν τῷ ἑπομένῳ.— |

---

1) Σῆμα νόει μοι τὴν ἐπιτύμβιον πλάκα, τὴν εἰς σημεῖον τȣ̃ τάφȣ τεθεῖσαν· σῆμα γὰρ κυρίως τὸ σημεῖον.

( ὡς Ὀδ: θ. )

„ Λᾶος ὑπαὶ ῥιπῆς· ὁδ' ὑπέρπτατο σήματα πάντων.

(Καὶ Ὀδ: ω.)

„ Σῆμα τί μοι νῦν εἰπὲ ἀριφραδέως, ὄφρα πεποίθω.

Σῆμα μεταφορικῶς καὶ ὁ τάφος, τȣτέστιν ἡ τοῖς νεκροῖς ἐπιχεομένη σορός. ὡς Ιλ: ψ.

„ Πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ, σῆμα τε χεῦσαι.

2) γέρας κατὰ τὸ (Ἰλ: Π.)

„ Ἔνθα ἑ ταρχύσȣσι κασίγνητοί τε ἔται τε

„ Τύμβῳ τε στήλῃ τε. τὸ γὰρ γέρας ἐστὶ θανόντων.

## Εἰς τὸν αὐτόν.

δ'. Γρηγόριον μ' ἐκάλεον· ὁ πατὴρ δὲ, Γεώργιος ἔχεν
Οὔνομ' ὁ Κρεμμύδεω. Κεῖμ' ὑπὸ τᾷδε πέτρῃ.

---

έ. Ὀΐζυρός τε φίλον τέκος ἔπλεο, ὠκύμορός τε.
Σεῖο δ' ἄνευ τλήσω γῆρας ἐπερχόμενον;

---

## Εἰς Θ: τὸν Κατεργάρην.

ς'. Ἐνθάδε Θεόφιλος ὁ Κατεργάρεω *) κεῖμαι, ἀποδρὰς
Οὐλόμενον γῆρας, λευγαλέην τε τύχην.

---

*) εω ἀντὶ μιᾶς βραχείας κατὰ τὸ —— χρυσέῳ ἀνὰ σκήπτρῳ.

---

## Εἰς τὸν ἐν μακαρίᾳ τῇ λήξει Εὐγένιον τὸν φιλοσοφώτατον Ἀρχιεπίσκοπον.

ζ. Εὐγένιος θάνεν, αἲ! φὰν χθές *) τινες· ὡς ὀλιγώρως.
Τοίους γὰρ θνήσκειν οὐκ ἐπέοικε λέγειν.

---

Δεύτερον.

ή. Οὐκ ἔθαν' Εὐγένιος λέγ', ἰαύει δ' ἱερὸν ὕπνον,
Χείλεα σὺν ῥὰ μίσας, βλύζ' ἃ πρὶν ἀμβροσίην.

---

Τρίτον.

θ'. Εὐγενίοιο νέκυν κεύθει τάφος· Εὐγένιον δ' οὔ·
Οὗπερ αἱ εὐγενέες ῥήσιες ἀθάνατοι.

---

*) Ἐν Νίζνῃ 10. Ἰουνίου 1806. ἔτους.

# Ἐπιστολαί τινες.

Τὴν ὑμετ. εὐγ. σὺν τῷ Χριςὸς ἀνέςη εὐχετικῶς περιπτύσσομαι.

Τρίτον ἔτος τουτὶ, ἐξ ὅτε ἐνέτυχον τῇ ἡδίςῃ σε ἐπιςολῇ, δι' ἧς ἐποίεις κατάδηλον τὴν πρὸς ἐμὲ εὐεργετικήν σε διάθεσιν, καὶ τὸν ζῆλον, ὃν ἐκτήσω πρὸς ςηριγμὸν τε σχολείε, καὶ τὴν τῶν Φιλομαθῶν ἐπίδοσιν· ἀνθ' ὅτε ἐπῄνεν αὐτὴν κατ' ἐμαυτὸν πολλάκις, καὶ συνεχῶς περιέςρεφον κατὰ νεν τὰ Ὁμηρικὰ ἐκεῖνα ἔπη,

„Αἴ γὰρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, ἢ Ἄπολλον.
„Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.
„Τῶ κε τάχ' ἠμύσειε . . . . .

ἡ πόλις Πριάμοιο ἄνακτος· αὕτη γὰρ πρόπαλαι τυγχάνει ἀμύσασα, ὥςε οὐδ' εἴποτε ἐγένετο πόλις πιςεύεσθαι· ἀλλ' ἡ πυργοποιΐα ἀμαθίας ἀλεγεινῆς, καὶ ἡ κατέχουσα τὴν Ἑλληνικὴν γῆν τῆς ἀπαιδευσίας σκοτόμαινα· καὶ Χρηςὰς τρέφων τὰς ἐλπίδας, ἀνέμενον ἰδεῖν εἰς πέρας ἀγομένην . . . . . τὴν ἐπαινετὴν ταύτην θέλησιν. Ἐπεὶ δὲ προϊόντος τε χρόνε ἑώρων ἐδὲν αἰνούμενον, ἀλλ' ἐν βυθῷ λήθης τὰ γραφέντα καταχανύμενα, ἔγνων δεῖν μικρὰν γοῦν τινα νύξιν δοῦναι . . . . . . .

Ἐγὼ δὲ καίτοι ἀνοίκειον τȣ̃το ὁρῶν, οὐ γὰρ αἰτῆσαι τι . . . . . . , ἔτε ἀνάμνησίν τινα ποιήσασθαί μοι ἐπέσελλες. ἀλλὰ δέξασθαι μόνον τὰ παρ᾽ αὐτῆς, καὶ τῆς τῶν μαθητῶν προνοῆσαι ἐπιδόσεως, ἐ πάντη τῇ σιγῇ χρήσασθαι ἐδικαίωσα· ἀλλὰ τὴν εὐγνωμοσύνην ἀποδεχόμενος, καὶ ὡς λαβὼν, καίτοι μηδὲν λαβὼν, ἃ προῄρησαι δοῦναι μοι, ἀπέχω τὴν χάριν. Γνωρίζω δὲ τῇ εὐγενείᾳ σȣ, ὅτι οὐδὲν, ὧν γέγραφας ἤνυσαι, ἵνα μὴ γραφὴν ἀχαριστίας ἐμαυτῷ ἐπισπάσωμαι, ὡς ἐπιλαθόμενος τῆς εὐεργεσίας, καὶ μηδὲν πρὸς τὸν εὐεργέτην εἰπὼν ἢ ὅτι πως, ἢ ἄλλως ἀποκρινάμενος. Ὡς δ᾽ ἔοικε θείας τῷ ὄντι παραχωρήσεως βουλομένης ἀποσβεσθῆναι, καὶ ὃ μόνον ἐλίπετο τῇ πατρίδι καλόν· ἐκ γὰρ τȣ̃ μηδένα λόγον τȣ̃ σχολείȣ ποιεῖσθαι τινὰ, ἀλλὰ βούλεσθαι τοὺς ἡμεδαπȣ̀ς αὐτόματα ἐκφύειν τὰ ἀγαθὰ, καὶ ὥσπερ ἐπὶ Κρόνȣ ἄσπορα καὶ ἀνήροτα, ἀνεφύη ἥ τε σπάνις τῶν μαθητῶν, ἀπέπτη δὲ καὶ τȣ̃ σχολείȣ ἡ φήμη. Ἀγέσθω μέντοι ὅπη, καὶ ὅπως τῷ θεῷ φίλον τὰ ἡμέτερα· ἱκανῶς καὶ θεῷ καὶ ἀνθρώποις ἀπολελόγημαι. Μέθοδον μὲν μαθήσεως τοῖς μαθητιῶσι καὶ παρέχον τὸν ἐιόντα τρόπον καὶ παρέχειν ȣ̓κ ὀκνῶ, πόρον δὲ ζωῆς, καὶ τὴν ἀναγκαίαν τροφὴν ȣ̓κ ἔτι· πῶς γὰρ ἂν παράσχοιμι ὅπερ ȣ̓κ ἔλαβον; Τὸ δὲ Ἑλληνιστὶ γράφειν ȣ̓χ᾽ ὅπως ȣ̓κ ἄτοπον, ἀλλὰ καὶ ἡδονῆς πρόξενον, καὶ μέγα, τῆς Ἑλλάδος τοσȣ̃τον ὄντα ἀπῳκισμένον, καὶ ἐν αὐταῖς ταῖς ἐσχατιαῖς τῆς . . . . . διάγοντα ἀττικίζειν καὶ γράφειν

καθ' Ἕλληνας. Ταῦτ' ἄρα κἀγὼ οὕτω γέγραφα, καὶ βουλοίμην ἄν, εἴγε ἀπαντῆσαι ἀξιώσειας, οὑτωσὶ γράφειν, καὶ χαρὰν προμηνεύειν, τὴν σὴν ὑγείαν εὐαγγελιζόμενον. ἔῤῥωσο.

αψπα ῳ. Απρ. ιθ. ῃ. ἐξ Ἰωα: εἰς Μόσχαν.

πρὸς Θεὸν αὐτῆς εὐχέτης θερμότατος
Κοσμᾶς Ἱερεύς.

---

Τὴν ὑμετέραν Εὐγένειαν κύριε Γεώργιε εὐχετικῶς ἀσπαζόμενος, ἡδέως προσαγορεύω.

Εἴη δὲ ὑγιαίνουσα καὶ εὐδαιμονοῦσα καθ' ἑκάτερον. Μετὰ τὴν ἐξάγγελσιν τῆς σῆς ὑγείας, καὶ τῆς πρὸς ἐμὲ εὐνοϊκῆς κλίσεως ἐνεχείρισέ μοι ὁ αὐτάδελφος αὐτῆς κύριος Ἀλέξιος τὸ σταλὲν αὐτῷ δίστιχον. Καὶ τοῦτο μὲν ἔχει καλῶς κατά τε τὰ μέτρα, καὶ τὴν ἔννοιαν, ἐχόμενον ποιητικῆς χάριτος, καὶ, ἣν ἡ Καλλιόπη τοῖς οἰκείοις ἐρασταῖς δωρεῖται, κομψότητος· τὸ δὲ κατ' αὐτὴν οὐκ ἔξω ἐπαίνου, καὶ θαυμασμοῦ, εἴγε οὐκ ἐπελάθετο τῶν Μουσῶν, ἀλλ' ἐντρυφᾷ ταύταις, καὶ πλεῖον τῶν ἄλλων ταῖς Μούσαις ἐγκαλλωπίζεται, οὐ κατὰ τοὺς πολλοὺς τοῦ αἰῶνος τούτου, οἵ γε καί τοι ταῖς Μούσαις προσομιλήσαντες, ἀλλὰ βραχύ τι τῇ τύχῃ προσεγγίσαντες, ἢ καὶ μικρόν τι πλουτισθέντες, ὀλιγωροῦσι τῶν Μουσῶν, καὶ τὰ τῶν

Μεσῶν ἐπαισχύνονται, τῇ ἀμουσίᾳ μᾶλλον οἱ δείλαιοι ἐναμβρυνόμενοι. Οὐκ ἔλαθε δέ με, ὅτι ἡ ἀποβίωσις τῆς ἐν μακαρίᾳ τῇ λήξει γενομένης συζύγε σε καιρίαν ἐν τῇ καρδίᾳ σε ἐνέπηξε τὴν πληγὴν, καὶ τὸ πάθος ἐ μετρίως σε καθίκετο· ἀλλ' εἰ φιλοσοφήσῃς ἀναλογιζόμενος, ὅτι τοιαῦτα τὰ ἀνθρώπινα, εὖ οἶδα, ὅτι δοξάσεις τὸν πρὸς τὸ συμφέρον πάντα τὰ ἡμέτερα οἰκονομεῦντα Κύριον, ἐξαιτούμενος παρ' αὐτε τῇ τε εὐγενείᾳ σε, καὶ τοῖς φιλτάτοις τέκνοις σε ζωὴν πολυχρόνιον, καὶ ἀκύμαντον. Ἀλλ' οἶμαι, ὡς εἴπερ ἐξῆν τοῖς νεκροῖς ἐκ τῶν τάφων ἀναβωνεῖν, ὁυτωσὶ πως ἂν ἐκείνην ἀναβοῆσαι καὶ εἰπεῖν, τὸ πρὸς αὐτὴν φίλτρον, καὶ μετὰ τὴν ἀπ' ἀλλήλων διάζευξιν, ἀποδεξαμένην.

Ἕδνα λίθες πόρες, ὦ πόσι, ἠδ' ἐπιτύμβιον, εὖγε,
Κείνες μὲν ζώσῃ, τὸν δὲ ἀποιχομένῃ.

Λίθες νόει μοι τοὺς πολυτίμες, καὶ πολυτελεῖς, περὶ οὓς τὸ γυναικεῖον φῦλον μᾶλλον τῶν ἄλλων ἐπτόηται, καὶ οἷς οἱ νυμφίοι τὰς νύμφας εἰς μεῖζον φίλτρον ἐγείρουσι. Καὶ τὸ μὲν ἐμὸν δίστιχον τοιετον, ὥστε εἰ δόξει σοι συντακτέον τῷ σῷ, σύνταξον· εἰ δ' οὔ, ἀπερρίφθω ἐς κυνόσαργες. Ἐῤῥωμένος διαβιώοις ἀνδρῶν φίλτατε. αψϞη δεκεμ. α'. ἐξ Ἰωαννίνων.

σὸς πρὸς Θεὸν εὐχέτης

Κοσμᾶς Ἱερεύς.

## Α'ΠΑ'ΝΤΗΣΙΣ.

Τὴν ὑμετέραν σοφωτάτην αἰδεσιμότητα ταπεινῶς προσκυνῶ, καὶ τὰς σεβασμίας αὐτῆς χεῖρας κατασπάζομαι.

---

Χαίρων τε ἅμα, καὶ ἐρυθριῶν ἐδεξάμην διὰ τοῦ κὺρ Ἀναστασίου Ζωσιμᾶ καὶ τὴν τιμαλφεστάτην μοι ἐπιστολὴν, καὶ τὴν συνοπτικὴν ὑμῶν ἔκθεσιν· χαίρων μὲν ἐπὶ τῇ πολλοῦ μοι τιμωμένῃ τούτων ἐντεύξει, καὶ ὅτι κατηξίωμαι βλέπειν τε, καὶ κατασπάζεσθαι την ἐν τῇ εἰκόνι ἱερὰν ὑμῶν πολιὰν, τῆς τε παγχρύσου ὑμῶν γλώσσης ἀπολαύειν· ὥστε καὶ ἐπέρχεταί μοι πολλάκις φαντάζεσθαι τὴν πάλαι μου ἐν τῷ σχολείῳ ἄσκηνον διατριβὴν, καὶ τὴν ὅσην ὁ τότε καιρὸς συνεχώρησέ μοι μικρὰν ἐπίδοσιν (ἧς ἔτι καὶ νῦν ἀγαθῇ τύχῃ περιφέρω τὰ λείψανα) καὶ θαμὰ κατ' ἐμαυτὸν λέγειν, ὦ κλειὸν ἔδος, ὦ λόγοι, ὦ Μοῦσαι, ὢ τῆς, ἧς φορᾷ τοῦ καιροῦ ἀφ' ὑμῶν ὑπέστην διαζεύξεως οὐκ ἐρατεινῆς· ἐρυθριῶν δὲ, ὅτι καὶ ἀμελῶν καὶ ἀμνημονῶν, καὶ μὴ γράφων ὁ μαθητὴς παρὰ τοῦ διδασκάλου δέχομαι γράμματα, ὡσανεὶ σοφῷ τινι πειθοῦς κέντρῳ πατρικῶς διορθούμενος. Οὐκ ἄποθεν δέ μου χαρᾶς ἦν τοῦτο, ὅτι τὸ ταπεινόν μου δίστιχον, καί τοι ἀπορφανισθὲν τοῦ τότε χρεωστουμένου συστατικοῦ, οὐ μόνον δεξιώσεως οὐκ ἀπηξίωτο, ἀλλὰ καὶ αἴτιον ἐγένετο τοῦ τὴν τῆς μακα-

ρίας συζύγε με μνήμην καὶ ἑτέρῳ τῷ κυρίε διδασκάλε τιμηθῆναι ἐπιτυμβίῳ διςίχῳ· οὗ τὸ κομψὸν καὶ τὴν πολλὴν χάριν καὶ τίς τῶν τῆς Θεᾶς γνησίων ἐραςῶν ἐκ ἂν θαυμάσειεν; Ἐγὼ δὲ καὶ αὐτὴ ἡ μακαρία ὁμολογῦμεν ὑμῖν ὑπὲρ αὐτῦ ἀπείρες τὰς χάριτας· ὡς ζώσης αὐτῆς ἀνταναπληρῶ ἐγὼ τὸ μέρος, ὅτι πάντοτε αὐτὴν ὡς ἔτι συμβιοῦσαν μοι, συμπροθυμουμένην τε, καὶ παραμυθουμένην, καὶ καθ᾽ ὕπνον καὶ ὕπαρ τῇ φαντασίᾳ λογίζομαι, καὶ τῇ τῶν πολλῶν αὐτῆς ἀρετῶν ἐναμβρύνομαι μνήμῃ· ὧν τοῖς ἴχνεσι τὰ ὀρφανὰ οἱονεὶ ῥινηλατῦντα, ἐπαμιλλᾶται τὴν μίμησιν ὑπὸ μάρτυρι καὶ παραςάτῃ τῷ δεινὰ παθόντι πατρὶ, φιλοσοφῦντι δ᾽ ὅμως τὴν ἁγίαν ὑπομονὴν, καὶ μόνην ἐν μόνοις αὐτοῖς ὡς εἰκόσι τῆς μητρὸς εὑρίσκοντι τὴν παραμυθίαν, καὶ χρηςὰς ἐπ᾽ αὐτοῖς τρέφοντι τὰς ἐλπίδας.

Ὁ Πανιερώτατος Κύριος Εὐγένιος ἐδωρήσατόμοι τὰς τῦ μακαρίε Ζοιρνικαβίε θεολογικὰς πραγματείας. Ἐντρυφήσας κἀγὼ αὐταῖς, καὶ ὅσον τὸ κατ᾽ ἐμὲ θαυμάσας τὸν ἄνδρα τῆς πολυμαθίας, ἔκρινα οὐ τῶν παρέργων κοινώσασθαι αὐτὰς καὶ τῇ ὑμετέρᾳ πολυμαθίᾳ· καὶ δι᾽ αὐτῆς τῇ Βιβλιοθήκῃ τῦ χολείε προσαφοσιώσασθαι, εἰς δύο περιεχομένας τόμες. Ἡ δὲ περὶ τῆς αὐτῶν διακομιδῆς φροντὶς ἐπεδόθη τῷ ἀνεψιῷ με Δημητρίῳ Μπούμπᾳ. Τὰ δὲ αὐτοῖς ἐντεθέντα δύο με πονημάτια εὔελπίς εἰμι, ὅτι ἐκ ἀποτεύξονται τῆς αὐτῆς πατρικῆς δεξιώσεως.

Ἐξαιτούμενος ἐμαυτῷ τε καὶ τέκνοις τοῖς ἐμοῖς τὰς πανιέρους αὐτῆς εὐχὰς καὶ εὐλογίας, μένω, ὡς καὶ εἰμὶ

Τῆς ὑμ: Ἱερ: ἐλ: μαθ. Γ. Κ.

1799.
τῇ 30 Μαΐου
ἐκ Νίζνης.

---

Τὴν ὑμετ. Εὐγ. εὐχετικῶς ἀσπαζόμενος ἡδέως προσαγορεύω.

Εἴη ὑγιαίνουσα καὶ εὐδαιμονοῦσα καθ' ἑκάτερον. Πέρυσι ἐκάη, καὶ ἐφέτος ἐμύρισεν, ἐρεῖς ἂν εἰκότως δεξάμενος τὴν ἐπιστολήν· ἀλλ' οὐκ ἂν εἶπες, εἴγε ᾔδεις τὰ κατ' ἐμὲ, καὶ ὅσων ἐν πείρᾳ ἐγενόμην τῶν δυσχερῶν. Ὁ δαίμων ἤγειρε σφοδρὸν κατ' ἐμοῦ τὸ κλυδώνιον· καὶ κῦμα ἐπὶ κῦμα φασι· καὶ εἰ μὴ παρῆν ἡ παρὰ τοῦ Θεοῦ ἀντίληψις, ὑποβρύχιον ἂν τὸ σκάφος ἐγεγόνει.

Ἐάσωμεν, εἰ δοκεῖ, τὰς μεταφορὰς καὶ ἀλληγορίας· πολλὰ καὶ ἐπὶ πολλῶν ἠνιάθην τὸν παρελθόντα χρόνον· ἀλλ' ὑπὸ τίνων; ὑπὸ τῶν, οὓς ἐφίλησα, οὓς ἐτίμησα, καὶ εἰ μὴ βαρὺ εἰπεῖν, οὓς κατεκόσμησα. Ὑπὸ τούτων ἀντὶ τοῦ μέλιτος χολὴν, ἀντὶ τοῦ ὕδατος ὄξος,

ἀντὶ συνδρομῆς καταδρομὴν, ϗ ἀντ' εὐχαριςίας ἀχαριςίαν, ϗ βάτον ἀντὶ ςαφυλῆς ἐτρύγησα. Συνεχῶς ἀναλογιζόμενος ἔγνων, ὡς ὁ μισόκαλος ὅλον αὐτȣ̃ καθοπλίσας τὸν ςρατὸν καθ' ἡμῶν, σφοδρᾷ τῇ ῥύμῃ φέρεται· ϗ τὸ . . . . . . . . , ἐν ᾧ ὑλακτεῖται, κατενεγκεῖν ϗ ἐξολοθρεῦσαι ἐπιχειρεῖ. Ἐλύπει δὲ μᾶλλον, ὅτι τῷ . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . Ὢ πῶς ἐκτραγῳδήσω ἀξίως τὴν συμφοράν; πῶς παραςήσω τῷ λόγῳ, ἢ τῇ γραφίδι ἐγχαράξω, ἅπερ οὔτε λέγειν, οὔτε γράφειν ἀσφαλές; Διὰ ταῦτα τῷ ἀδοκήτῳ πληγεὶς, ἐπιλέλησμαι καὶ συγγενῶν καὶ φίλων, εἰ ἔτι ἐν τῷ κόσμῳ τȣ́τῳ καὶ ἴχνος φιλίας ὑπολέλειπται, ϗ τῶν καθηκόντων ἐμοὶ, καὶ τὸ σύνολον, καὶ ἐμαυτȣ̃ „ ȣ̓δὲ „ νύ μοι κῆρ ἤθελ' ἔτι ζώειν, καὶ ὁρᾷν φάος ἠελίοιο „. γενόμενος δὲ ὡσεὶ ἄνθρωπος ȣ̓κ ἀκȣ́ων, καὶ ȣ̓κ ἔχων ἐν τῷ ςόματι αὐτȣ̃ ἐλεγμȣ̀ς· εἰ ȣ̓κ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ, ἀλλ' ὑπεχώρησα πρὸς μικρὸν, τὴν σιωπὴν κατὰ Πυθαγόραν ἀσκῶν, ϗ φιλοσοφῶν, καὶ τῷ τȣ̃ εἰπόντος ἐμαυτὸν παραμυθȣ́μενος· συκοφαντεῖ Μέλιτος, φιλοσοφεῖ Σωκράτης· καὶ ζῇ Μέλιτος, καὶ τέθνηκε Σωκράτης. Ἀλλὰ ταῦτα μὲν ἀγέσθω, ὅπως τῇ θείᾳ προνοίᾳ φίλον, καὶ τῇ σιγῇ παραδεδόσθω, ἵνα μὴ ϗ τῇ σῇ ἀγάπῃ λύπης παρεκτικὸς γένωμαι, τὰ τότε συμβάντα ἀποδυρόμενος.

Ἐπεὶ δὲ κατὰ τὸν ὑπὸ Θεȣ̃ σοφισθέντα καιρὸς τȣ̃ σιγᾷν, καιρὸς τȣ̃ λαλεῖν, λύω ἤδη τὴν προτέραν σιω-

πὴν, καὶ ἥκω, εἰ καὶ ὑπερήμερος, ἀλλ᾽ οὖν ἥκω εἰς τὴν ἀπάντησιν τῆς χαριεστάτης σου ἐπιστολῆς, δηλοποιῶν, ὡς ἔλαβον διὰ τοῦ τιμιωτάτου ἀνεψιοῦ αὐτῆς κὺρ Δημητρίου Μπούμπα, καὶ τὰ τεύχη τοῦ Ζοιρνικαβίου καὶ μανδύλια, καὶ ὑπερευχαριστῶ, συναριθμήσας καὶ αὐτὰ τοῖς βιβλίοις, ἅπερ ἔπεμψαν, ἢ τό γε οἰκειότερον εἰπεῖν, οἷς τὴν Βιβλιοθήκην τοῦ κοινοῦ σχολείου κατεκόσμησαν, καὶ ἐπλούτισαν οἱ τοῦ μακαρίτου καὶ ἀειμνήστου Ζωσιμᾶ κοινωφελέστατοι βλαστοί. εἰ καὶ ὀψέποτε, καὶ τὸ δὴ λεγόμενον κατόπιν ἑορτῆς ἧκεν ὁ Ζοιρνικάβιος, ὅτε τὸ κακὸν αὐτὸ ὑφ᾽ ἑαυτοῦ κατηνάλωται, ὅτε ἡ ἐπηρμένη ὀφρὺς καταβέβληται, ὅτε τὸ ψεῦδος κατελέγχθη, ὅτε ἡ γοητεία ἐφωράθη, καὶ ὁ ἀγέρωχος καὶ ὑψηλόφρων Πάππας, ὁ θέμενος τὸν θρόνον αὐτοῦ ὑπεράνω τῶν νεφελῶν, καὶ ὅμοιος εἶναι βουλόμενος τῷ ὑψίστῳ, παππᾶς ὤν, οὐδὲ ὡς Παππᾶς ἐνομίσθη. Ἔδει δὲ ταῦτα εἰς φῶς προελθεῖν, ἐν τοῖς χρόνοις τῶν ἀοιδίμων ἐκείνων διδασκάλων, Βησσαρίωνος φημὶ, Γεωργίου, Μεθοδίου, Μακαρίου, καὶ τοῦ ἐμοῦ Μπαλάνου, τῶν ζεόντων τῷ πνεύματι, καὶ προθύμως ἀθλούντων ὑπὲρ τῆς εὐσεβείας, καὶ εὐτόνως μαχομένων ὑπὲρ πατρίδος καὶ πίστεως, καὶ τὰς τῶν Λατίνων καινοτομίας στηλιτευόντων· εἰ γὰρ εἶχον τὰ ὅπλα ταῦτα, ἅπερ ὁ σοφὸς οὗτος ἐκ τῶν ὁπλοθηκῶν τοῦ πνεύματος συνελέξατο, εὐχερέστερον ἂν κατέστρεφον τὸν παππικὸν στρατὸν, καὶ καιριωτέρας ἂν τὰς πληγὰς τοῖς λατινόφροσιν ἐναπέθεντο. ἀλλ᾽ ἔμπης οὐ περιττὰ καὶ νῦν τὰ

τεύχη, ἐδὲ ἀσύμφορα· γνώσονται γὰρ καὶ αἱ ἐσόμεναι γενεαὶ, τίνες οἱ σχισμάτικοι, τίνες οἱ καινοτομἒντες, τίνες οἱ παραλλάκται τῆς ἀληθείας, τίνες οἱ κιβδηλεύοντες τὰ τἒ πνεύματος, οἱ Γραικοὶ, ὡς ἔθος αὐτοῖς καλεῖν τοὺς Ἕλληνας, ἢ οἱ Λατίνοι; Καὶ ὁ μὲν ἀξιάγαστος Ζοιρνικάβιος, τἒτε ζήλȣ, καὶ τῆς φιλοπονίας, καὶ τῆς πολυμαθείας, καὶ τῆς φιλαληθείας, εὖ οἶδ', ὅτι ὑπὸ πολλῶν θαυμασθήσεται· χάρις δὲ καὶ τῷ σοφωτάτῳ καὶ περιφανεστάτῳ ἐν διδασκάλοις κυρίῳ Ἐυγενίῳ, τῷ μεταφράσαντι τὰ ἐκείνȣ συγγράμματα, χαριζομένῳ τοῖς μὴ ἐπαΐȣσι τὴν τῶν Λατίνων φωνὴν, καὶ πρὸς τὸ φῶς τῆς ἐπιγνώσεως τοὺς ἐσκοτισμένȣς, καθοδηγἒντι, εἰ ἢ . . . Ἡ συλλογὴ τῶν λέξεων ὡς δόξασα καλὴ καὶ μοὶ, ἢ ἄλλοις τῶν ἐλλογίμων, καὶ ἐγκριθεῖσα ὑπὸ πολλῶν, ἐξεδόθη τοῖς φιλομούσοις εἰς ἀντιγραφήν· ἐξ ἧς οὐ μικρὸν ὠφεληθήσονται· εὑρήσȣσι γὰρ λέξεις, αἷς δυσχερῶς ἐν τοῖς φερομένοις λεξικοῖς ἐντεύξονται, κἂν τἒτο συμβῇ, ἀλλ' ȣ̓ μετὰ τῆς προσηκȣ́σης σαφηνείας καὶ ἀναπτύξεως. Τὴν δὲ ἐπινίκιον ᾠδὴν, καὶ ἀνέγνων, καὶ θαμὰ ἀναγινώσκω, ἡδόμενος καὶ ἐντρυφῶν τῷ προσφιλεστάτῳ μοι κυρίῳ Γεωργίῳ εὐγενίζοντι, ἵνα μὴ εἴπω Ὁμηρίζοντι διὰ τὴν νέμεσιν. Εἴθε μιμοῖντο καὶ ἄλλοι τὰ ἐν οἷς σπουδάζεις, καὶ δι' ὧν ὠφελεῖς τοὺς ὁμογενεῖς. Μὴ διαλίποις καὶ τἒ λοιπἒ εὐφραίνειν τὸν λίαν σε φιλἒντα τοῖς ὁμοίοις, καὶ ταῖς ὁμοίαις εἰδήσεσιν· ȣ̓ γὰρ ἐγὼ ὁμοίως ἔχον ἀηδῶς πρὸς πάντα ὁμῶς . . .

. . . . . . . . . . . . . . . Τὰ τὴν γεῦσιν ἐφηδύνοντα διὰ τὴν τῦ χυμῦ συμμετρίαν, καὶ τὰ πολλὰ τῶν βρωμάτων ἀρτύνοντα, ἔτι δὲ καὶ ἀνθοφυῆ, ἐξ ὧν ἐν καιρῷ τῷ προσήκοντι λήψεται διὰ τῦ κὺρ Δ. Μ. ἔνια, μετὰ σπόρων τινῶν ἀνθέων τῶν ἐν τῷ κήπῳ, ἐν ᾧ μονάζω, τὰς . . . συνῦσίας ἀποδιοπομπῦμενος.

Ἔῤῥωσο.

αωαϑ. Ἰυλίυ κζῃ.

ὁ αὐτὸς Κοσμ.

---

ΑʼΠΑΝΤΗΣΙΣ 1803.

Τὴν ὑμετ. σοφωτάτην αἰδεσιμότητα ταπεινῶς προσκυνῶ.

Παραπολὺ ἐμακροχρονίσθη ἡ εἰς τὴν σεβασμιωτάτην, καὶ πάγχρυσόν μοι ἐπιστολήν σας ταπεινή μοι ἀπάντησις, εἴτε ἐξ ἀσχολίας, εἴτε ἀναμένυσα τὴν ἑτοιμασίαν καὶ συνέδιτυ τίνος; τῆς ἐν αὐτῇ ἐμπεριεχομένης διατριβῆς. Ἑκατέρα ὖν παριςαμένη τῇ πατρικῇ ὑμῶν εὐνοίᾳ, ταπεινῶς ἐξαιτεῖται, ἡ μὲν τὴν συγγνώμην, ἡ δὲ τὴν προςασίαν, καὶ ἐὰν κριθείη καὶ αὐτὴ ὐκ ἀσύμφορος, ἐκδοθῆναι τοῖς φιλομούσοις τῶν μαθητῶν εἰς ἀντιγραφήν· τοῖς, οἷς γὰρ δύναμαι ἀνταμείβω αὐτὺς δι-

ρήμασι, τῆς φιλομαθίας αὐτῶν ἕνεκα, ὡς φιλογενὴς, συμμαθητής τε, καὶ τῆς αὐτῶν ἐπιδόσεως φιλότιμος ἐραστής. Χαρίεν δ' εἴη μοι, εἰ καί τινες αὐτῶν φιλοτιμέ-μενοι ἀντιδωρήσονταί με τοῖς ὁμοίοις·

Νέος χρόνος, νέα θεόθεν ἐπεύχομαι τῇ ἱερᾷ ὑμῶν πολιᾷ ἀγαθὰ, ἐν ταῖς περιόδοις τέτυ τε καὶ ἄλλων ἐν ὑγιείᾳ διηνεκεῖ πρὸς ὠφέλειαν καὶ καύχημα τῦ γέ-νυς ἡμῶν, κατ' ἐξοχὴν δὲ καὶ παραμυθίαν τὴν ἐμήν. Τὰ δὲ παρῳχηκότ' ἀνιαρὰ, ἄφαρ τὰ φέροιεν ἀναρπά-ξασαι ἄελλαι· εἰ καὶ δεινὸν κατὰ τὴν γρηγορίειον φω-νὴν, καὶ ἀνδραποδῶδες τὸ ὑπὸ . . . . . . . . . . . . . γλωττογραπτύσ' ὁ πέπαυτ' ἀμύσσων. εὐχητιαςέα δ' οἱ κἂν ἐν τῷ δ' ἐπίγνωσις. Ἐξαιτέμενος ἐμαυτῷ τε καὶ τοῖς ἐμοῖς ὀρφανοῖς τὰς πανιέρυς ὑμῶν εὐχὰς, ὑποσημειῦ-μαι, ὡς καὶ εἰμὶ διαπαντός.

Τῇ προσφιλεστάτῃ μοι εὐγενείᾳ σου τὴν ἐν Χριστῷ εὐχετικὴν πρόσρησιν.

Ἡ εἰλικρινὴς φιλία οὐδὲ ἐν καλάμῳ, οὐδὲ ἐν μέλανι, οὐδὲ ἐν χάρτῃ, ἀλλ᾽ ἐν ταῖς τῶν καρδιῶν διαθέσεσιν ἵσταται· ἐντεῦθεν κἂν προλαβὸν οὐκ ἔγραψας, μηδεμιᾶς προκειμένης ἀνάγκης, οὐ διὰ τοῦτο ἐν προθύροις, ἢ ἐν αὐλῇ ἀπερρίφης, ἀλλ᾽ ἔνδον διὰ παντὸς, καὶ ἐν αὐτῷ ὑπῆρχες τῷ τοῦ χοροῦ τῶν φίλων κέντρῳ· διὸ δὴ οὐδὲ χρεία σοι εἰσαγωγῆς, ἢ εἰσελεύσεως, ἐς τὰ ἐσώτατα τῆς φιλίας θυσιαστήρια ἐμφιλοχωροῦντι καὶ διατρίβοντι. Αὐτὸς οὖν κρατῶν ἔχω, ὅπερ εἶχον, δῆλον δὲ ὅτι καὶ αὐτὸς, ἀμέλει τοι τὸ καλὸν καὶ ἀγαθὸν τῆς φιλίας χρῆμα, τὸ ἐν πάσαις ταῖς περιστάσεσι τίμιόν τε καὶ χρήσιμον. Κύριος ὁ Θεὸς διαφυλάττοι σε, φίλε γνήσιε, ὑγιαίνοντα καὶ εὐτυχοῦντα σὺν τῇ εὐγενεστάτῃ συζύγῳ σου, καὶ τοῖς φιλτάτοις ὑμῶν τέκνοις ἔντε τῷ εἰσεληλυθότι ἤδη νέῳ ἔτει, κἂν πολλοῖς ἐφεξῆς ὁμοίως. Τὴν πρὸς τὸν πανιερώτατον Ἀρχιεπίσκοπον Εὐγένιον σταλεῖσαν μοι ἐπιστολήν σου μετ᾽ οὐ πολὺ ἀποστελῶ.

Ταῦτα ἡ φιλικὴ καὶ γνωστή σοι χεὶρ ἐν Μόσχᾳ.

ἔτ: αψϟγ´. Σεπτ: δ´,

Ἀγαπητὲ ϰ͵ περιπόθητέ μοι κύριε Γεώργιε ἐξ ὅλης ψυχῆς εὐχόμενος κατασπάζομαί σε.

Πολλῶν ἐπαίνων ἀξία ἡ ὑπὲρ τῆς στερήσεως τῆς φιλτάτης σου συζύγου καρτερική σου διάθεσις. Ἔστι δὲ ἡ μὲν ὑπὲρ τῆς διαζεύξεως θλίψις πρόσκαιρος, τὸ δὲ, ὑπὲρ τῆς καρτερίας βραβεῖον αἰώνιον. Ἐπεὶ δὲ καὶ τοὺς εὐσεβεῖς τοῦ μακαρίου Ἰὼβ φωνὰς ἐξεβόησας, ἀμέλει τοι τὸ, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, καὶ ὡς τὸ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο, εὐλογήσει σοι ὁ Κύριος τὰ ἔπιθεν μᾶλλον ἢ τὰ ἔμπροσθεν, καθάπερ δὴ τὰ ἐκείνου. Τοῦ Κυρίου δὲ ἡ εὐλογία πάσης εὐτυχίας καὶ τῶν ἀγαθῶν δότειρα καὶ χορηγὸς ἔσται σοι, καὶ πᾶσι τοῖς φιλτάτοις σου τέκνοις, τοῖς ὡς εἰκὸς συμπαθήσασι τῷ πάθει σου καὶ συγκαρτερήσασι· γένοιτο·

Τῆς ὑμετέρας φιλτάτης εὐγενείας
Ἐν Χριστῷ εὐχέτης
ὁ Ἀρχιεπίσκοπος Νικηφόρος.

Ἐκ Μόσχας
ἔτ. αψϟζʹ. Φευρ. εʹ.

Τὴν ὑμετέραν ἐντιμότητα κύριε Γεώργιε εὐχόμενος ὑπερήδιστα κατασπάζομαι.

Μεγάλως εὔφρανέ με τὸ πρὸς ἐμὲ γράμμα της. τῆς δὲ χάριτος τὸ αἴτιον διπλοῦν· τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον ὑπὲρ πᾶσαν παράθεσιν. καὶ τὸ μὲν ἔλαττον ἦν τὰ ἕξ αὐγοτάραχα, τὰ ὁποῖα καὶ τῆς Λογαροῦς μὲ ὑπέμνησαν, καὶ τῶν ἐκεῖ κλιμάτων, καὶ δώρων τῆς φύσεως, τῶν ὁποίων ἡ ὑμετέρα προσφιλεστάτη μοι τιμιότης ἠθέλησε νὰ ἀνακινήσῃ εἰς ἐμὲ τὰ παλαιὰ ἴχνη· τὸ δὲ μεῖζον, καὶ δῶρον ἀσυγκρίτως ἐμοὶ τιμιώτερον, καὶ θυμηδέστερον ὑπὲρ πᾶν ὁτιοῦν τῶν γηΐνων, ἡ τῶν φίλων, ἣν ἔτι περὶ ἐμὲ διασώζουσι μνήμην· ἧς δὴ σαφέστατον δεῖγμα ἡ ὑμετέρα ἀγάπη εἰς ἐμὲ πρόσφατον ἔδειξεν. ὑπὲρ ἧς ὑμῶν διαθέσεως καὶ χάριτας ὁμολογῶ τὰς ἀπὸ καρδίας εἰλικρινοῦς καὶ εὐγνώμονος.

Ἤθελον, ἂν ἦτον τρόπος, νὰ ἀντιπέμψω καὶ ἐγὼ ἐντεῦθεν πρὸς ὑμᾶς ἀντίδωρόν τι, εἰς ἀμοιβὴν τοῦ ἐλάττονος· ἀλλ᾽ οὐδὲν ὅ, τι καὶ ἔχω τοιοῦτον· καὶ παρ᾽ ἡμῖν πάντα λυπρά. Εἰς δὲ τὴν τοῦ μείζονος, ἔχω τι καὶ μάλα γενναῖον· τοῦτο δέ ἐστιν ἀγάπη ἀγάπης ἀντίδοσις, καὶ πατρικῆς ἐν πνεύματι, πρὸς υἱϊκὴν διάθεσιν, στοργῆς ὁμολογία· ἐπιπροσθεὶς καὶ τὰς ἐκ βάθους ψυχῆς

εὐχάς τε καὶ εὐλογίας, δι' ἂν ὁ Κύριος ὑμᾶς διατηροίη διὰ παντὸς τοῦ βίου (τί μεῖζον εἴπω;) τῆς αὐτοῦ χάριτος καὶ ἐπισκέψεως ἀπολαύοντας.

Τῆς ὑμ: ἐντ: εὐχέτης
Εὐγένιος ὁ Ἀρχιεπίσκοπος.

Ἐκ Πολτάβης.
3. Ἰουνίου 1781.

Ὁ ἐμὸς πρωτοσύγκελλος Παππᾶ Ταράσιος παρεκάλεσέ με νὰ ἀναφέρω καὶ τοὺς ἐξ αὐτοῦ προσήκοντας ἀσπασμοὺς, καὶ δικαίως, διότι μασσουλίζει καὶ ὁ φίλος ἀπὸ τὰ Λογαρίσια, τὸ μερίδιόν του.

---

## Αὐτῷ μοι ὁ αὐτός.

Μετὰ χαρᾶς πολλῆς ἐδέχθην τὴν Ἀμερικανὴν ἱστορίαν τοῦ Ῥόβερσον, τὴν διὰ τοῦ κὺρ Νοταρᾶ παρὰ τῆς ὑμετέρας ἀγάπης σταλεῖσαν μοι· καὶ μετ' οὐκ ἐλάσσονος τέρψεως αὐτὴν διέρχομαι, ὡς ἐπιμελέστατα τὰ κατ' ἐκεῖνα τὰ ἔθνη, καὶ κλίματα, ἀκριβολογοῦσαν, καὶ τὰ πάθη ἐκτραγῳδοῦσαν τῶν διὰ τὴν ἁπλότητα λεγομένων βαρβάρων, καὶ τὴν τῶν δῆθεν εὐπολιτεύτων Εὐρωπαίων θηριωδίαν, καὶ τῷ ὄντι βαρβαρότητα, λαμπρῶς στηλιτεύουσαν· καὶ διατρίβω τοίνυν ταῖς φαντα-

οίαις εἰς Ἡλίε ὑςατίες αὐγὰς, καὶ τοὺς ἐχάτους τε Ὠκεανε τέρμονας, τῇ ἀναγνώσει ὡς πορρωτάτω τῆς καθ' ἡμᾶς ἀναςρεφόμενος οἰκεμένης· καὶ σὲ, ἀγαπητὲ, παραίτιον οἶδα τῆς μακρᾶς πλάνης, καὶ τῆς περιέργου ταύτης περιηγήσεως, δι' ἧς ἀταλαιπώρως τε καὶ ἀκινδύνως, ὃ μὰ Δία πολλῶν ἀνδρῶν ἄςεά τε καὶ νόον, ὡς ὁ Λαέρτε, ἀλλὰ πολλῶν ἐθνῶν ἀγροίκων τε καὶ ἀγρίων ἤθεα καὶ ἄνοιαν καὶ ἀβελτηρίην, καὶ μὲν δὴ καὶ πολλῶν ἀτασθάλων τε καὶ ὑπερηφάνων, οἷον τῶν Ἱσπανῶν καὶ ἄλλων, τὴν ὠμότητα καὶ ἀπανθρωπίαν, καὶ τὴν ἄπληςον φιλαργυρίαν, καὶ τὴν θηριώδη αἱμοβορίαν ἀναπεμπαζόμενος, ἐκ ἔχω λέγειν, ποτέρες ἀθλιωτέρες νομίσαιμι; τοὺς παθόντας τὰ τόσα κακὰ, ἢ τοὺς δράσαντας; Ἀπλέτες ἐν ὑμῖν, τῆς διατριβῆς ἕνεκα ταύτης, οἶδά τε καὶ ὁμολογῶ τὰς χάριτας.

Συγχαίρω, ὅτι μετὰ τῆς γλυκυτάτης συζύγε ἐπιςρέφετε, ὡς ἔμαθον, εἰς τὰ πενθερικὰ πρὸς ἀπόλαυσιν τῶν συγγενῶν καὶ οἰκείων. Εὔχομαι δὲ ὑμῖν, ἀφ' ἐ, ὅσον ἀρεςὸν, διατρίψητε ἐν Πολτάβῃ οἱ δύο, νὰ ἐπιςρέψητε ἐπανιόντες εἰς τὰ ἴδια τρεῖς. Τὲτο δὲ ἔςαι, ἐὰν λάβητε ἄνθρωπον ἐκ θεε· καὶ ἐκβλαςήσῃ ἐκ τε εὐφυες Κρομμύε, ὡς ἐξ ἀγαθῆς ῥίζης εὐγενὲς ἄνθος, οἷον ὑμεῖς ποθεῖτε, καὶ ἡμεῖς ὑμῖν ἐκ καρδίας φιλικῆς ἐπευχόμεθα. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

ἐκ Χερσῶνος. Ἰενίε 23, 1782.

## Ὁ αὐτὸς 25 Ἰαννȣαρ.

Ἀσμένως ἐδεξάμην τὸ ἀπὸ 2. Ἰαννȣαρίȣ γράμμα της, δι' ȣ͂ μοι τὰς τȣ͂ νέȣ ἔτȣς, ἐν ἐυχαῖς ταῖς συνήθεσι, προσφθέγγεται αἰσίȣς τε ϗ ἐυτυχεῖς ἀρχὰς καὶ προόδȣς· τὰς αὐτὰς καὶ ἐγὼ, ἐξ ἴσȣ τε καὶ ἐπίσης εἰλικρινȣ͂ς τȣ͂ πόθȣ, προσεπαμείβομαι· ἐυχετικῶς τε ὑμᾶς ἀσπάζομαι πανοικεὶ, μετὰ τῆς φιλτάτης ὑμῶν συζύγȣ, καὶ τῶν ἐρατεινῶν κορίων· καὶ θεόθεν ὑμῖν ἐξαιτȣ͂μαι ὅσα ἀγαθὰ, ὅσα ἐπωφελῆ, ὅσα σωτήρια, ὅσα, ἑνὶ λόγῳ, ἐπιθυμίας Χριϛιανικῆς καὶ ἐυχῆς εἰσὶν ἄξια. Τὰ τȣ͂ χρόνȣ προοίμια, διὰ τῆς παρ' ἐλπίδα πᾶσαν ἐπιλαμψάσης ἡμῖν εἰρήνης, χαροποιά τε πάντως προέκυψε καὶ ἐυφρόσυνα· ὅσα δήπȣ τὸ κοινὸν ἀφορᾷ, καὶ ȣ̓ μόνον τῆς ἐν ᾗ βιοτεύομεν βασιλείας, ἀλλὰ καὶ παντὸς τȣ͂ καθ' ἡμᾶς γένȣς τὸ πλήρωμα. Ὅ, τι δ' ἀνήκει εἰς τὸ κατ' ἐμὲ ἴδιον, ἐὰν ὁ ἐνιαυτὸς ὁ τῆτες, τῇ τῶν παρ' ὑμῶν γραμμάτων συνεχείᾳ, τȣ͂ παρεληλυθότος φανῇ ἐυφορώτερος, τȣ͂το εἰς μέρος ἐυετηρίας ἐμοὶ λογισθήσεται. Δεῖγμα γὰρ ἕξω τȣ͂το σαφὲς τῆς περὶ ἐμὲ διασωζομένης ἐν ὑμῖν φιλικῆς διαθέσεως· εἰς ἣν ἀνταποκρινόμενος ἰσομέτρως, σημειȣ͂μαι.

Ὁ αὐτὸς ΟΙ Μαρτίου.

Τὴν τετράδα τῶν ἰχθυηρῶν τεταριχευμένων ὠῶν ἀσμένως ἐδέχθην, καὶ πολλὰς ὑπὲρ αὐτῶν ὁμολογῶ τῇ ὑμετέρᾳ ἀγάπῃ τὰς χάριτας. Ἡδέα μοι, καὶ πάνυ ταῦτα ἔσται ἡδέα· οὐ μόνον ὅτι τὸ σκυθρωπὸν αὐτὰ καὶ τραχὺ τῆς νηστησίμου τραπέζης ὑπολεανοῦσιν εἰς βρῶσιν παρατιθέμενα· ἀλλὰ καὶ ὅτι με τῆς Λογαροῦς αὐτῆς, τῆς τῇ ἐμῇ πατρίδι γειτνιαζούσης, καὶ τῶν εὐδαιμόνων ἐκείνων κλιμάτων καθυπομνήσκουσι προσφερόμενα. Ἡδίστη δὲ ἡ ἐνεγκαμένη καὶ εἰς μνήμην μόνον καθυποπίπτουσα, καὶ ἁπλῶς ἀπαντῶσα ταῖς φαντασίαις· πόσῳ οὖν μᾶλλον συμπράττον ἔχουσα καὶ τὸ ἡδῦνον ἐν αὐτοῖς τοῖς αἰσθήμασιν; Ἀλλὰ τὴν ἡδονὴν ἐπὶ πᾶσιν ἐπαύξει καὶ ὁ λογισμὸς, ὅτι διʼ οὗ ἐκομισάμην παρʼ ὑμῶν προσφάτου τούτου δωρήματος, συμβάλλω τὴν ὑμετέραν τοῦ δωρησαμένου ἀγαθήν τε καὶ φιλικὴν πρὸς ἐμὲ διάθεσιν· ὑπὲρ ἧς καὶ ἐπεύχομαι ὑμῖν πανοικὶ, . . . . . . . . . . . . . . ὅπως εἴητε ὑπὸ Θεοῦ ἐν ἀκροτάτῃ ὑγιείᾳ τε καὶ εὐημερίᾳ περιφερούμενοι.

---

Ὁ αὐτὸς ἐκ Χερσῶνος 1786 Ἀπρ. 21.

Χαρᾶς ἐνέπλησέ με τὸ ἀπὸ 28. τοῦ παρελθόντος Μαρτίου ἀγαπητὸν γράμμα της· ὡς ἅμα μὲν τὴν ἐν ὑγιείᾳ ἀγαθὴν ὑμῶν πανοικὶ διαμηνύσαν κατάστασιν· ἅμα

δὲ καὶ γλυκείας προϋπέβαλον τὰς ἐλπίδας, ὅτι τὸ τῆτες ἡμῖν εὐτυχὲς ἀποβήσεται, καὶ πληρωθήσεται τὸ δικαιὸς τοῦ πόθου διὰ τῆς ἐνταῦθα τοῦ φιλτάτου μοι κὺρ Γεωργίου προσωπικῆς ἀπολαύσεως. Καλῶς οὖν ἐποίησας, ἀγαπητέ, τὸ ἔφετον προαγγείλας. Οὕτω γὰρ τὰ καλὰ παρατάσεώς τινος διὰ τῆς προσδοκίας τυγχάνοντα, τέρπειν εἰώθασι κατ' ἰδέαν, καὶ πρὸ τῆς ἐν πράγματι τέρψεως. Ἐῤῥωμένην μοι διατηροίη ὁ κύριος τὴν ὑμετέραν τιμιότητα τῶν καταθυμίων δαψιλῶς ἀπολαύουσαν· ὡς εὔχομαι.

---

Ὁ αὐτὸς ἐκ Χερσῶνος δεκεμ: λ. αψπϛ'.

Μὴν παρῆλθε, καὶ ἔτι πρὸς, ἐξ οὗ τοὺς ἐν Νίζινῃ ὁμογενεῖς, εἰς ἅπερ ἐζήτουν ὑπακούσας, πρὸς τὸ ἐκεῖ Μαγιστράτον ἔγραφον, καὶ τὴν συμβολογραφίαν τοῦ θριαμβικοῦ πυλῶνος ὡς οἷόν τέ μοι ἦν ἄριστα διετυπούμην, προθεὶς καὶ τῆς πρὸς τὴν αὐτοκράτορα προσλαλιᾶς μικρὸν ἐπιχεδίασμα. Εἴδησιν δὲ, οὐδεμίαν ἔχω ἄχρι καὶ νῦν, ἐὰν τὰ πεμφθέντα ἀσφαλῶς ἐπεδόθησαν. Διὰ τοῦ αὐτοῦ κομιστοῦ ἐκείνων, ἔγραφον ἰδίᾳ καὶ πρὸς τὴν ὑμετέραν ἀγάπην· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἱμάτιόν τι τῶν ἐμῶν ἐνεχείρισα αὐτῷ, διὰ νὰ τὸ γουνώσετε, καὶ νὰ μὲ τὸ στείλετε μὲ πρῶτον, ἐπισημειώσας ὑμῖν καὶ τὰ τῆς δαπάνης, ἐφ' ὅσον θέλω νὰ ἁπλωθῇ, ὅρια. Ἀλλ' οὐδὲ περὶ τούτου ὑμετέρας ἀπαντήσεως ἔτυχον. Ἡ ἐλπὶς, ὅτι ἔμελλον ἐνταῦθα νὰ τὴν ἀπολαύσω προσωπικῶς, ὑπο-

θάλπουσά με, μὲ ἔκανε νὰ περιμένω ἀντὶ τοῦ γράμματος τὸν γραφέα, καὶ συνάμα τῇ πεμφθησομένῃ μηλωτῇ· ἢ ἀλωπεκῇ, τὸν πέμψοντα μὲν οὐχὶ, τὸν δὲ κομίζοντα. Νῦν δὲ ἀπελπίζειν τοῦτο ἀρχόμενος, κἂν ἐπιστολῆς ἀξιωθῆναι δέομαι, εὐχόμενος ὑμῖν ἐκ καρδίας εἰλικρινοῦς ὅσα ἀγαθὰ καὶ σωτήρια.

---

ὁ αὐτὸς ἐκ Πετρουπόλεως 14 Μαρτίου 1790.

Γνωρίζω καὶ ὁμολογῶ ἐμαυτὸν χρεώστην διαφόρων ἐπιστολῶν ἀπαντήσεως, ὧν παρὰ τῆς ὑμετέρας ἀγάπης ἔλαβον, καὶ ζητῶν συγγνώμην παρατρέχω πᾶσαν ἀπολογίαν, τὴν ὑπὲρ τῆς τοιαύτης ἀναβολῆς τε καὶ ὑπερθέσεως. ἀπολογία ἀρίστη, ἡ τῶν ἐσφαλμένων ἐξομολόγησις. εἰς τοῦτο μόνον ἐπιθυμῶ νὰ πληροφορηθῆτε, καὶ ὅτι θέλει πληροφορηθεῖτε ἐλπίζω, τὸ, ὅτι ἡ σιωπή μου, εἴτε ἐξ ἀκαταστασίας τῶν ἐμῶν προελθοῦσα πραγμάτων, εἴτε ἐκ βαρυμόχθου καὶ ἐνδελεχοῦς ἀσχολίας περὶ τὴν ἐμὴν ἐργασίαν, εἴτε καὶ ἐξ ἀκηδείας (ἂν θέλετε) καὶ ῥαθυμίας, καὶ γηραιᾶς νωθρότητος· οὐδέποτε ὅμως δὲν ἴσχυσε νὰ ὑποσμικρύνῃ, ἢ νὰ ὑπαμαυρώσῃ τὴν ἐμὴν πρὸς τὴν ὑμετέραν τιμιότητα εἰλικρινῆ τε καὶ σταθερὰν ἀγάπην, τὴν ὁποίαν διατηρῶ ἀπαραμείωτον, καὶ ἐπαγγέλλομαι νὰ διασώζω ἕως τέλους, γράφων τε καὶ μὴ γράφων, παντελῶς ἀνέκλειπτον. Εὐχαριστῶ καὶ διὰ τὸ ἐν ἐσχάτοις πεμφθέν μοι ᾠδάριον, τὸ τῷ πολιορκητῇ Λαύδωνι λυρῳδηθέν. Ὁ Λυρῳδὸς δωρίζων τὴν διάλεκτον, καὶ

εἰς τὸ Πινδαρίζειν οὕτω φιλοτιμεῖται ἔγγιον γίνεσθαι. Οὕτως οἱ νῦν ἡμεῖς, θαμνώδη, καὶ παράσιτά τινα ἐλεγχόμεθα παραφυτεύματα τῶν μεγάλων τε καὶ ὑψηλῶν δένδρων. Ἀποδεκτέος δ᾽ οὖν ὁ ποιητὴς καὶ διὰ τὸ ἑτερόγλωσσον. Εὔχομαι τῇ ὑμετέρᾳ ἀγάπῃ τὰς σωτηρίους ἡμέρας, ὅπως ἂν αὐτὰς διέλθοιτε μετὰ πνευματικῆς ἀγαλλιάσεως, καὶ μετὰ σωματικῆς εὐρωστίας, ἢ εὐτυχοῦς καταστάσεως, τούτους τε καὶ ἐφεξῆς εἰς πολλῶν ἐτῶν διαστήματα.

---

## Ὁ αὐτὸς ἐκ Πετρουπόλεως 19 Ἀπριλλ. 1792.

Γραφὴν ἂν δικαίας παρ᾽ ὑμῶν, ἀγαπητὲ ἀγνωμοσύνης ἔφευγον, καὶ ἐπισήμου ἀχαριστίας, ἂν ἡ ἐνδελεχής μου καὶ ἀδιάκοπος ἐνασχόλησις περὶ τὴν ἔκθεσιν κατὰ τὸ αὐτὸ καὶ ἐκτύπωσιν τῆς Αἰνειάδος, παραπέμπουσά με ἐξ ἀναβολῆς εἰς ἀναβολὴν, δὲν εἶχε προσλάβει καὶ κακὸν διάδοχον τὴν ἀῤῥωστίαν τῆς σφοδροτάτης καταρροῆς, ἥτις μοι παρηκολούθησε. Δόξα τῷ Θεῷ κατὰ τὸ παρὸν ἐπὶ ποσὸν ἀνέσφηλα, καὶ ἰδοὺ ἀπαντῶ πρὸς τὸ φιλικώτατον ὑμέτερον γράμμα, τὸ ὁποῖον ὁ κὺρ Ἀθανάσιος ὁ Γεναρόπουλος ἐλθὼν ἔκτοτέ μοι ἐνεχείρισε. Βραδεινὴ ἡ ἀπάντησις, ὡς ἐκ τοῦ γράμματος, ἀλλὰ μὴ νομίσῃς, ὅτι τοιαύτη καὶ ὡς ἐκ διαθέσεως τῆς περὶ ὑμᾶς, ἣν ἀκεραιοτάτην τε καὶ εἰλικρινεστάτην διὰ παντὸς ἐν Βα-

θει ψυχῆς δικαίως, καὶ ἐποφείλω καὶ ἐπαγγέλλομαι· ὅτι ὑμεῖς οὐ μόνον ἐν γράμμασι τὴν πρὸς ἐμὲ ἀγάπην ἐδείξατε, ἀλλὰ πολλάκις καὶ πράγμασι· καθὼς καὶ ἐπὶ τοῦ παρόντος, διὰ τοῦ γλυγυτάτου ῥοδοζαχαρώδους ἡδύσματος, τὸ ὁποῖον ἡ εὐγενεστάτη κυρία ἡ ὑμετέρα σύζυγος μοὶ ἀπέστειλεν. Ὁσάκις τὸ ἀπογεύομαι (καὶ τὸ ἀπογεύομαι μόνος, κατ' ὀλίγον, μηδενὶ μηδόλως μεταδιδοὺς) τοσάκις τὰς εὐλογίας μου ἐπαναλαμβάνω, καὶ τὰς εὐχάς μοι εἴς τε τὴν καλὴν ἀρχόντισσαν, καὶ εἰς πᾶσαν τὴν χρυσῆν ὑμῶν Φαμιλλίαν. Καὶ μὴ εἴπῃς ἐδῶ τὸ κοινὸν ἐκεῖνο „δίδε μοι νὰ σ' εὔχωμαι„ τὸ ὁποῖον εἶναι ἰδιαίτερον καλογηρικόν. ἐπειδὴ ἐγὼ εὐφραίνομαι μὲν καὶ εἰς τὴν γλυκύτητα τοῦ δώρου, καὶ αἰσθανόμενος αὐτὴν εἰς τὸν φάρυγγα· ὑπερευφραίνομαι δὲ ὅμως πολὺ πλέον, ὅτι εὑρίσκονται κ' εἰς ἐμὲ φίλοι, οἵτινες ἐκ μακροτάτων διαστημάτων μὲ ἐνθυμοῦνται, καὶ διὰ τοιούτων σημείων τὴν πρὸς ἐμὲ φιλοφροσύνην δείχνουν καὶ εὔνοιαν. Χαίρω πολλὰ καὶ εἰς τὴν ἐλπίδα, τὴν ὁποίαν δίδει τὸ γράμμα της, ὅτι θέλει ἀξιωθῶ καὶ ἐδῶ νὰ τὴν ἀπολαύσω προσωπικῶς· εἴθε μοι γένοιτο, ὡς πολλῆς εὐχῆς τοῦτο μοι γίνεται, καὶ χαρᾶς πρόξενον καὶ μόνον ἐλπιζόμενον. Ἐν τοσούτῳ ἀπολαμβάνω συγχνὰ τὴν συντυχίαν τοῦ κὺρ Τζουκαλᾶ τοῦ ἀγαπητοῦ ἐξαδέλφου της· ὅστις θαμίζει πρὸς ἐμὲ καὶ μὲ ἐπισκέπτεται, τὸ περισσότερον οἰκουροῦντα, κ' στιχίδια ποιητικὰ ἀναμασσώμενον. Αὐτὸς ἑτοιμάζεται νὰ ἀναχωρήσῃ, ὡς τέλος λάβῃ ἡ αὐ-

τοῦ ὑπόθεσις. Εὖ πράττοιτε ψυχῇ, καὶ ἐῤῥωμένως ἔχοιτε τῷ σώματι πανοικί.

---

Ὁ αὐτὸς ἐκ Πετρουπόλεως 1797. Ἰουνίου 1.

Ἐπεδόθη μοι τὸ φιλικὸν αὐτῆς γράμμα, τὸ ἀπὸ 15. τοῦ παρελθόντος Ἀπριλλίου, ὑπὸ χαλεπῆς ἀῤῥωστίας κατακειμένῳ, καὶ διὰ τοῦτο ὑπερθεμένῳ ἄχρι τοῦ νῦν τὴν ἀπάντησιν, ὅτε χάριτι θείᾳ κατὰ μικρὸν ἀναῤῥωσθεὶς, ἐδυνήθην καὶ καλάμου ἅψασθαι. Ἀναγνοὺς τότε τὸ τῆς ὑμετέρας ἐπιστολῆς πρῶτον μέρος, ἐν ᾧ συνήδεσθέ μοι περὶ τῆς παρὰ τοῦ φιλοχρίστου ἡμῶν Αὐτοκράτορος ἐπιδαψιλευθείσης μοι χάριτος, ἐχάρην εἰκότως, ὅτι τὸ ὑπὲρ ἀξίαν προσφιλοτιμηθέν μοι γέρας τοῦτο ὑμᾶς ὑπερεύφρανε· χαίρομεν γὰρ, οὐχ ὅπως ἐφ᾽ οἷς εὖ αὐτοὶ τυγχάνομεν πάσχοντες, ἀλλ᾽ ὅτι καὶ τὴν ἐν ἡμῖν αὐτοῖς ἐπιῤῥέουσαν θυμηδίαν ὁρῶμεν ἔτι καὶ πρὸς τοὺς εὐνοϊκῶς πρὸς ἡμᾶς ἔχοντας διαδόσιμον γινομένην, κατά τινα, δὸς εἰπεῖν, οἷον ἀντανάκλασιν καὶ ἀνταύγειαν, τὴν ἐξ εἰλικρινοῦς ἀγαπήσεως· ἥτις καθίστησι τὰ τῶν φίλων τῷ ὄντι κοινά.

Ἀλλὰ τὸ δεύτερον τῆς ἐπιστολῆς μέρος, τὸ ἐκτραγῳδοῦν τὰ ὑμῖν δυσχερῆ τε καὶ λυπηρὰ συμβάντα, εἰς βάθος, ἀπαππαῖ, τῆς ψυχῆς μου καθίκετο. Φεῦ τῆς

ἀνθρωπίνης καταστάσεως· ἐν εὐφροσύναις προσμίγνυται λύπη· τελευταῖον δὲ χαρὰ εἰς πένθος ἔρχεται. Τοιαῦτα τὰ ἐπὶ γῆς, ὐδὲν ἐν αὐτοῖς πεπηγὸς, ὐδὲ βέβαιον, ὐδὲ στάσιμον.

Χνοῦς, σκιὰ, φάσμα, δρόσος, πνοιὴ, πτερὸν, ἀτμὸς, ὄνειρος, οἶδμα, ῥόος, νηὸς ἴχνιον, αὖρα, κόνις.

Οὕτω συλλογιζόμενοι κατακοπάζομεν τὸν ἐνεγειρόμενον ἡμῶν τῇ ψυχῇ τάραχόν τε καὶ σάλον· καὶ λογισμοῖς ὀρθοτέροις κατευνάζοντες τὰ ἐκ τῶν περιστάσεων τῦ βίυ κορυφύμενα κύματα, οὔτε ὑπὸ τῶν δεξιῶν ἡμῖν ἐπισυμβαινόντων πτερύμεθα, ὔτε πάλιν ὑπὸ τῶν ἀριστερῶν ἐξ ἐναντίας, πέρα τῦ δέοντος διαθορυβύμεθά τε καὶ καταπίπτομεν, διατρέχοντες τὸ τῆς προκειμένης θαλάσσης διάστημα ὑπὸ κυβερνήτορι τῷ ὀρθῷ τε καὶ εὐσεβεῖ λογισμῷ, καὶ ἀναφέροντες τὰ προσπίπτοντα εἰς τὴν πρόνοιαν τῦ παναγάθυ Θεῦ, τῦ τὰ ἡμέτερα πάντα ὡς εὐδοκεῖ (πάντως πρὸς τὸ ἡμῖν συμφέρον) οἰκονομῦντος καὶ διεξάγοντος. Εὔχομαι ἐκ θερμοτάτης καρδίας τὰ λοιπὰ ὑμῶν τέκνα, ἃ ἔδωκεν ὑμῖν ὁ Θεὸς καὶ συντηρεῖ, καὶ συντηροίη καὶ ἐφεξῆς ἀπεριστάτως. Ἰδιαίτερον δὲ τῦ ἐμοὶ ὁμωνύμυ καὶ περισσόν τι προσυπερεύχομαι κατὰ χρέος, ἐπειδὴ (ὡς γράφετε) καὶ αὐτὸς καθ' ἡμέραν ἐντυγχάνει τῷ Θεῷ ὑπὲρ ἐμοῦ· ὅτι καὶ ἡ αὐτῦ ὑπὲρ ἐμοῦ ἔντευξις, ὡς νηπίυ ἁπλῦ καὶ ἀκάκυ, πολλῷ τῆς ἐμῆς ἐστὶ δραστικωτέρα, καὶ μᾶλλον εὐπρόσ-

δεκτος. Ζήσειε τοιγαρȣ̃ν ὁ Εὐγένιος ὁ σός, ϗ φθάσειεν ὑπὸ τῇ σκέπῃ τῇ θείᾳ τὰς ἡμέρας μȣ, καὶ ἔτι πρός, εἰ καὶ τȣ̃το εὐχῆς ἐςιν ἄξιον.

Τὰ περὶ τῆς τȣ̃ ἁγίȣ πνεύματος ἐκπορεύσεως θεολογικὰ βιβλία, περὶ ὧν τὴν ἔκδοσιν εἰς τόδε ἐκοπίαζον, ἔλαβον ἤδη τέλος τῶν τύπων προκύψαντα, εἰς δύο περιεχόμενα τόμȣς, εἰς φύλλον ὁλοχερές. Ἕτοιμον ὑμῖν εἰς δῶρον ἔχω ἓν ἐξ αὐτῶν ἐξεμπλάριον, μόνον ὑμέτερον ἔςω τὸ ὑπὲρ τῆς αὐτῶν διακομιδῆς φροντίσαι, γράφοντας εἴς τινα τῶν ἐνταῦθα ὑμῖν γνωρίμων διὰ νὰ τὰ παραλάβῃ, καὶ μετὰ ἀσφαλείας διαπέμψῃ. Κύριος ὑμᾶς διατηροίη ἀνωτέρȣς ἐξῆς οἱασȣ̃ν λυπηρᾶς περιςάσεως, καθάπερ εὔχομαι εἰλικρινέςατα.

Τῆς προσφιλεςάτης μοι ὑμῶν τιμιότητος ὁ θερμὸς εὐχέτης, καὶ
εἰς τȣ̀ς ὁρισμȣ̀ς πρόθυμος

ὁ Ἀρχιεπίσκοπος Εὐγένιος.

εἰς τὴν

# ΜΕΓΑΛΗΝ ΑΙΚΑΤΕΡΙΝΗΝ

## Ὠδὴ Ἐπινίκιος.

Χρύσε' Ἀπόλλωνος νῦν φόρμιγξ ἀργυροτόξου
Φορμίζουσ' ἀγορῇ ἔνι ἀθανάτων, ἆθλε' ὑδεῖ,
Ἠδ' ἀρετὰς δίης μεγαθύμοιο ΑΙΚΑΤΕΡΙΝΗΣ.
Ἔνθ' ἅμα Μοῦσαι πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ
Αἴσιμα ὑμνεῦσ', οἱ δ' ἐπιτέρπονθ' ὃν κατὰ θυμόν.
Ὕμνοις τοῖς δ' αὔχει μέγ' Ἀνάσσης πότνια Παλλάς·
Αὐτὴ δῶκε γὰρ ἧ νόον, ἠδ' ἐδίδαξε θέμιστας.
Νύμφας τ' ἐκ καναχὴ φόρμιγγος ἔληθ' Ἑκάτοιο·
Κ' αὐταὶ σπεύδουσαι ὀρχηθμῷ ἄλλοθεν ἄλλη,
Δάφνης δέρποντ' ἔρνεα, ὅσ' ἀγλαά, εὖτε πλέκοντι
Νίκης γε στέφος, ὄφρα κάραν στέψωσιν Ἀνάσσης
Ὄλβιον ἀθλοφόροιο κατ' ἀξίαν, ἠδὲ θέμιστα.
Φάμας οὐρανίης δὲ μάλ' ὠκ' ἐσαφίκανε γαῖαν
Ἀγγελίη. ἐδάη πολυγλώσσων ἔθνεα ἀνδρῶν
Ἄσπετον ἀλκάν, ἠδ' ἀρετὰν ἱερῆς Βασιλείης.

Φροιμίου ἄπο νῦν Διὸς ἤρξαθ' ἅπας τε ἀοιδός,
Τῆς κλυταῖς ἐπέων γε ῥοαῖσι κατ' αἶσαν ἀείδειν
Εὐκλείην, ἔργοις ἂν λαμπροῖς ἤρατο αὕτη.
Πῶς τ' ἄρ τολμήσω κἀγὼ σ' ὑμνῆσαι, Ἄνασσα,
Πάντη εὔυμνον ἐοῦσαν; ἔχει με θυμὸν κατὰ δέος.
Σὸν δ' ἱλαρὸν, ζῆλος τε ἐμὸς θαῤῥεῖν με κέλονται.

Χαῖρε τὺ μειλιχίη μήτηρ, δαΐφρων τε Ἄνασσα,
Κῦδος τ' ἄφθιτον, ἠδ' ἕρκος γε Ῥώσσων γε ἀγαυῶν.
Σὲ χάριτες θρέψαν, κ' ἀτίταλον Ἀμβροσίοισι
Δώροις. Σοὶ Παλλὰς σοφίην, μῆτιν τε ὄπασσεν
Ἄφθονον, ἠδὲ κλέος, πασῶν πέρι τ' ἔμμεναι ἄλλων.
Τῆς διὰ βουλὰς σεῦ μέγ' ἀρίζηλόν τε ὄνομα,
Τοῖς μὲν σοῖσι φίλοισιν ἐράσμιον, ἀντιπάλοις δὲ
Καὶ ἀκοῇ μούνῃ δεῖμον προΐησι κρυόεντα.
Σοῖο ὕπο σκῆπτρα φρίττει πάνυ γαῖ' ὑπένερθεν,
Δινύει θ' ἁλὸς ὑγρὰ κέλευθα, ἰδ' οὔρεα ἠχεῖ.

Τυραννοθρὰξ . . . . ἄφρων ἐγκύμονι θυμῷ
Ὠδίνων φθόνῳ πάλ' ἀταθαλίην κατὰ σοῖο,
Ἄγειρε συγεράν γε μάχαν, μὴ ὅρκια πιστὰ,
Μηδὲ θέμιδα φυλάξας ἀνάρσιος ἧς συγερῇσιν
Ἀφραδίῃσιν. ἑὸν κατὰ θυμὸν ὑπέρβια βάζε,
Ῥίμφα ὑπερμενέτας Ῥώσσους καταθλῆσ' ἀμέτροισι
Πλήθεσ' ἑῶν βριαρῶν γε μαχητᾶν, αἶσι τε ναυσὶ
Παμπόλλοις. τοῖς γὰρ πίσυνος μέγα ἔπλετ', ἰδ' ἄλλοις
Αἰνὸν ὄπασσε πάλαι φόβον, ὁρμῶν θούριδι λύσσῃ.
Ἐψεύσθη ἔμπης, ἐψεύσθη οἷα χαλίφρων.

Καρτερόθυμοι γὰρ Ῥῶσσοι, πρόχνυ καί γε ἀριθμῷ
Μείονες αὐτῶν, εἷς ὡς πρὸς δεκάδ', ΑΙΚΑΤΕΡΙΝΗΣ
Εὐχαῖς κοσμηθέντες ἁγναῖσι, κεδνὴν τ' Ἀτρυτώνην
Σχόντες ἀρωγὸν, Ἄρην τέ γε ἀλκτῆρ' ἠνορέης ὃς
Αὐτοὺς ἀρρήτου πλῆσ', αἶψ' ἐχθρῶν ἐπέβησαν
Γαίης· ὁσσάκι δὲ ξυνέβαλλον Ἄρην Α. . . . .,

Τοσσάκι τρέψαν ὀπίσσω ἀολλέας, ἠδ' ἀνέτρεψαν,
Ἀκρίδας ὡς μάλα ἔνθα καὶ ἔνθα διεσκέδασ' ἄφαρ
Ἴς ἀνέμοιο, πολλοῖσι τ' ὄπασσαν δύλειον ἦμαρ,
Παμπόλλοις δ' αὖ κῆρα μέλαιναν. λῦντο δὲ γυῖα
Τ. . . . ἦ μάλ' ἄρα σφέας εἷλε φόβος θανάτοιο.
Ταρβοσύνη δὲ τ' ἄφαρ φύγα δ' ἐμνάοντο ἕκαςος.
,, Πρόχνυ κακῶς τ' ἀπόλλοιντ', αἴχει πεπραμένον ἔθνος

Ποσσάκι καὶ πῆ Ῥῶσσος ἀγαυὸς ςῆσε τρόπαια,
Ἀμφαδὰ πᾶσιν ἔθηκεν Ἀληθείης Φάμα βροτοῖς.
Μάρτυρες εἰσὶ τάων ἀψευδεῖς Ἴςροιο ὄχθαι,
Ἠδ' ἄλλων ποταμῶν, Χερσόννησός τ', ἰδὲ Πόντος
Εὔξεινος, Πέλαγος τ' Αἰγαῖον, ναύςολον ἔνθα
Πυρὸς μένεϊ Ῥὼς ἑκατοντάπρυμνον ὄλεσσε
Πρόχνυ ἀτάσθαλον. ὡς θαυμαςὰ ἅπαντα τὰ ἔρξε.
Τὰ δ' Ἴςροιο πέραν πολλῷ προφερέςερα, ἅττα
Ἀςὴρ ὡς λάμπει τοῖς πρόσθεν ἔπ'. ἀλλοπρόσαλλον
Ὤοντ' Ὀ . . . . παῖδες μάχαν ἐνθάδε ἔξειν,
Ἠδ' ὁρμὰς ςῆσαι Ῥώσσων ἄφαρ, οὕνεκα αὐτοὶ
Οὐρέων βήσσησιν ἐρυμναῖς, κῆρ' ἀλέοντες,
Κάτφυγον ἠδ' ἕρκεσσι βαθέσσιν ἀολλέες. ἔμπης
Μήτεϊ ἦ δαΐφρων Ῥωμανσόβ, ἐρίκλυτος ἥρως,
Λαμπρὸς ἀγὸς Ῥώσσων, κλέος οὗ ἐς ἄφθιτον, αἰὲν
Παιᾶνα ἀΐδων, ἵετο πρόσσω, Ἄρεα πνέων·
Εἶθ' ἄρκυσσ' ὡς, αἶψα ἀολλέας ἐναπέκλεισε,
Θῆρας θ' ὡς ἀμφάγρευσ' ἀλέοντας χεῖρας ἀγρευτᾶν.

Θαῦμα ἔην ἰδέμεν τότε, πῶς ὁ πάλαι ἀγέρωχος
Τ. . . . . Ἄρει τε λιμῷ τε ὁμαρτῇ τήκετο δηθά.
Λύσσης πῶς τόθ' ἑῆς λυσσῶν γε λελάθετο κάπρος.
Ἄρδην, λόιθιά τε πνέων πῶς γνάσσατο Ῥῶσσον,
Φεισάμενός γε τὸν ὄφρ' ἐλεήρῃ, ἠδὲ σαώσῃ.
Αἶψα δὲ λισσομένῳ κατένευσ' ἱερὴ ἴς Βασιλείης,
Οὕνεκα μείλιγός ἐστ', οὐδ' ἧς φρὴν αἵμασι χαίρει.

Τόφρα ὃς ὅρκια πιστὰ ταμὼν ἀπελύετο, πλεῖστε
Θάμβευς τ' ἔχετο ἧς διὰ μειλιχίην, ὅθ' ἑαῖσιν
Ἀῤῥήκτοις τὸν χερσὶν ἔχεσ' ἀλέηρ', ἰδὲ λοιγὸν
Οἵ γ' ἀπ' ἀεικέ', ἄμυν'. ἦ ῥ' εἰ τολμήσοι ὅδ' αὖθις
Αὔτως παρβαίνειν θεσμ', Ἑλλάδος τ' ἄφαρ ἄρδην
Τυραννέει τῆς κάτα, ἐξωθήσετ' ἀέκων.

Κολοσσὸν ὧδ' ἐς γᾶν ὑψαύχειον αἶψα ἄνασσα
Κάββαλες. Ὑψιμέδων σοὶ μούνῃ ἔκρινε δόμεναι
Κῦδος ὑπὲρ πάντας τόδ', ἀμοιβὰν ὡς ἀρετῶν σῶν.
Εὐρώπη κροτέει, ἰδ' ὀφείλει σοι χάριν, ἔττι
Τῆς λύσσην αὐτὴ θαμὰ δείδιε, φρὴν μεγάλαυχος
Πρόχνυ τυράννου, σοῖσιν ὑπὸ σκήπτροις κατέθραυσται.
Ῥωσσίης ναέται γᾶς κάρτ' εὐδαίμονες, οὓς σὺ
Αἰὲν σῇ σοφίῃ ποιμαίνεις· ὧν τε ἐς αἴης
Πείρατα ἄφθιτον κλέος ἔσται οὕνεκα σοῖο.

---

Πεποιημένη μοι ἐν Μόσχᾳ κατὰ τὸ 1775· ἔτος προτροπῇ τοῦ κυρίου Ν. Παππαφίλου, τοῦ Π. Π.

ἀξιώσαντος· παραινέσει δὲ τȣ͂ Ἀρχιεπισκόπȣ κυρίȣ Εὐγενίȣ προσπεφωνημένη τῷ Μητροπολίτῃ Πλάτωνι·

---

## Ἐπιθύριον. 1764.

### Ἐν τῇ πατρικῇ μοι οἰκίᾳ.

Χριστ' ἄναξ ἀνδρῶν μερόπων, νοῶν τε,
Ἱερὲ πατροφαὲς, κύδιστ' Ἰησȣ͂,
Βηλὸν ἔρξας, χλωρά τε νότα πόντȣ
Γῆν τε λόγῳ σῷ,

Εὖτε Ζακχαίοιο ἐσήλυθες δῶ,
Τοὺς ἐν αὐτῷ πάντας ἔσωσας· οἴκῳ
Ἀλλὰ καὶ τῷ δ' εὐλογίαν τεὰν δὸς,
Κοίρανε σῶτερ,

Τοὺς τ' οἰκȣ͂ντας νὶν ἀπηρεάστȣς
Σῶζε, σήν τ' ὄρεξον χεῖρα τοῖσι,
Καρτεράν τε, φερέλβιόν τε, ἧπερ
Ὀλβιόδωρος·

---

# ΕʹΠΙΤΥʹΜΒΙΑ

## Εʹκ τῶν τῆς Βυζαντίδος.

### Εἰς Iʹȣλιανὸν.

Iʹȣλιανὸς μετὰ Τίγριν ἀγάῤῥοον ἐνθάδε κεῖται
Αʹμφότερον βασιλεὺς τ' ἀγαθὸς, καρτερός τ' αἰχμητής.

### Εἰς τὴν Βασίλισσαν Κωνςαντίαν.

Αʹ δ' ἐγὼ τριτάλαινα, καὶ ἀμφοτέρων βασιλήων,
Τιβερίȣ θυγάτηρ, Μαυρικίȣ τε δάμαρ,
Ηʹ πολύπαις βασίλεια, καὶ δείξασα λοχίη,
Ωʹς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίη,
Κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ
Δήμου ἀταθαλίῃ, καὶ μανίῃ ςρατιῆς.
Τῆς Εʹκάβης ἔτλην πολὺ χείρονα, τῆς τ' Iʹοκάςης·
Αἴ αἴ! τῆς Νιόβης ἔμπνοος εἰμὶ νέκυς.
Ναὶ ναὶ τὸν γενέταν, τί μάτην τὰ νεογνὰ ἔκτειναν;
Αʹνθρώπων κακίης μηδὲν ἐπιςάμενα;
Ηʹμετέροις πετάλοισι κατάσκιος ἐκ ἔτι Ρʹώμη,
Ρʹίζα γὰρ ἐκλάσθη Θρηϊκίοις ἀνέμοις.

## Ἀποσπάσματα ἐκ τῶν ἀποφθεγμάτων τῆς σοφίας Σειρὰχ.

„Μὴ καταγέλα ἄνθρωπον, ὄντα ἐν πικρίᾳ ψυχῆς
„ αὐτοῦ. ἔςι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν.

„Μὴ ἀλλάξῃς φίλον ἕνεκα ἀδιαφόρε, μηδ' ἀδελφὸν γνή-
„σιον ἐν χρυσίῳ Σεφείρ.

„Μὴ ἐγγυήσῃς ὑπὲρ τὴν δύναμίν σε· καὶ ἐὰν ἐγγυή-
„σῃς, ὡς ἀποτίσων φρόντιζε.

„Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον, ὁ γὰρ πρόσφατος
„ἐκ ἔςιν ἔφισος αὐτῷ. οἶνος νέος, φίλος νέος· ἐὰν πα-
„λαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν.

„Ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθὸς ἔςαι;

„Πρὶν εὔξασθαι, ἑτοίμασον σεαυτὸν, καὶ μὴ γίνου ὡς
„ἄνθρωπος πειράζων τὸν Κύριον.

„Μνήσθητι καιρὸν λιμε ἐν καιρῷ πλησμονῆς, πτωχείαν
„καὶ ἔνδειαν ἐν ἡμέραις πλέτε.

„Ὁ ταχὺ ἐμπιςεύων κεφος καρδίᾳ.

„Τρία εἴδη δὲ ἐμίσησεν ἡ ψυχή με, καὶ προσώχθησα
„σφόδρα τῇ ζωῇ αὐτῶν, πτωχὸν ὑπερήφανον, καὶ πλε-
„σιον ψεύςην, καὶ γέροντα μοιχὸν ἐλαττούμενον συνέσει.

„Ἐν νεότητι ἐ συναγήοχας, καὶ πῶς ἂν εὕροις ἐν τῷ
„γήρᾳ σε;

„Ὡς ὁ δρασσόμενος σκιᾶς, ἢ διώκων ἄνεμον, οὕτως ὁ
„ἐπέχων ἐνυπνίοις.

„Λάλησον ἄνθρωπε, εἰ χρεία σου, μόλις δὶς ἐὰν ἐπε-
„ρωτηθῇς. κεφαλαίωσον λόγον, ἐν ὀλίγοις πολλά, καὶ
„γίνου ὡς γινώσκων, καὶ ἅμα σιωπῶν.

## Ἐκ τῶν Πλουτάρχου
## ἐν τῷ περὶ Δίωνος.

„Τῷ δὲ ὄντι μετεπέμψατο τοὺς Κορινθίους ὁ Δίων, ἣν „ἐπενόει πολιτείαν, ῥᾷον ἐλπίζων καταστήσειν ἐκείνων πα„ραγενομένων. Ἐπενόει δὲ τὴν μὲν ἄκρατον δημοκρατίαν, „ὡς οὐ πολιτείαν, ἀλλὰ παντοπώλιον οὖσαν πολιτειῶν „κατὰ τὸν Πλάτωνα κωλύειν. Λακωνικόν δέ τι καὶ Κρη„τικὸν σχῆμα μιξάμενος, ἐκ δήμου καὶ βασιλείας ἀρι„στοκρατείαν ἔχον τὴν ἐπιστατοῦσαν, καὶ βραβεύουσαν τὰ „μέγιστα, καθιστάναι καὶ κοσμεῖν.

## Τίνες οἱ τὸν θεῖον Δίωνα φονεύσαντες.

„Αὐτοὶ δὲ οἱ προσφέρειν τὰς χεῖρας μέλλοντες Ζακύν„θιοι, παρῆλθον ἄνευ ξιφῶν ἐν τοῖς χιτῶσι.

## Ἐν τῷ περὶ Φωκίωνος, μὴ δεξαμένȣ τὰ ὑπὸ τȣ̃ Ἀλ; αὐτῷ πεμφθέντα δωρεὰν ἑκατὸν τάλαντα.

,,Τȣ́των κομιθέντων εἰς Ἀθήνας ἠρώτησεν ὁ Φωκίων τȣ̀ς ,,φέροντας, τί δήποτε πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ ,,μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος· εἰπόντων δ᾽ ἐκεί- ,,νων, ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν· ,,οὐκȣ̃ν, εἶπεν ὁ Φωκίων, ἐασάτω με καὶ δοκεῖν, καὶ εἶ- ,,ναι τοιȣ̃τον.

---

## Ὑπὲρ τῆς Ἀρισείδȣ δικαιοσύνης.

,,Ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς ἐκτήσατο τὴν βα- ,,σιλικωτάτην, καὶ θειοτάτην προσηγορίαν τὸ δίκαιον, ,,ὃ τῶν βασιλέων καὶ τυράννων ȣ̓δεὶς ἐζήλωσεν· ἀλλὰ ,,πολιορκηταὶ, καὶ κεραυνοὶ, καὶ νικάτορες, ἔνιοι δὲ ἀετοὶ καὶ ,,Ἱέρακες ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας ,,καὶ τῆς δυνάμεως, ὡς ἔοικε μᾶλλον, ἢ τὴν ἀπὸ τῆς ,,ἀρετῆς δόξαν ἀγαπῶντες.

## Εὐχὴ Ἀρισείδȣ, ἐξοσρακιζομένȣ τῶν Ἀθηνῶν.

,,Μηδένα καιρὸν Ἀθηναίȣς καταλαβεῖν, ὃς ἀναγκάσει ,,τὸν δῆμον Ἀρισείδȣ μνησθῆναι.

---

## Διατὶ μέγας ὁ Ἀλέξανδρος.

,,Ἀλλὰ τὰ μὲν ἐκτὸς, ἐν ὀλίγοις ὅπλοις φιλοτιμία ,,πολλὴ, καὶ ζῆλος ἡλικίας παραλλήλου, καὶ ἅμιλλαι περὶ δόξης καὶ ἀρετῆς ἑταίρων. Αὐτὸς δ' εἶχεν ἐν ἑαυ- ,,τῷ τὰς μεγάλας ἐλπίδας, εὐσέβειαν περὶ Θεοὺς, πίστιν ,,πρὸς φίλους, εὐτέλειαν, ἐγκράτειαν, ἐμπειρίαν, ἀφο- ,,βίαν πρὸς θάνατον, εὐψυχίαν, φιλανθρωπίαν, ὁμιλί- ,,αν εὐάρμοστον, ἀψευδὲς ἦθος, εὐστάθειαν ἐν βουλαῖς, ,,τάχος ἐν πράξεσι, πρῶτα δόξης προαίρεσιν ἐν τῷ κα- ,,λῷ συνεργὸν . . . . . . . . . . . . . . . . . . . . .
,, . . . . . . . . . ὅθεν οὐκ ἐν τῇ κτήσει τῶν ἀγαθῶν, ,,ἀλλ' ἐν τῇ χρήσει τὸ μέγα ἐστίν.

---

## Περὶ ἐνιαυτοῦ.

,,Πολλοὶ δέ εἰσιν, οἵ καὶ προστεθῆναι τούτους ὑπὸ Νουμᾶ τοὺς ,,μῆνας λέγουσι, τόν τε Ἰαννουάριον καὶ τὸν Φευρουά- ,,ριον· ἐξ ἀρχῆς γὰρ χρῆσθαι δέκα μησὶν εἰς τὸν ἐνι- ,,αυτὸν ὡς ἔνιοι τῶν βαρβάρων τρισί. Καὶ τῶν Ἑλλήνων ,,Ἀρκάδες μὲν τέσσαρσιν, ἓξ δὲ Ἀκαρνᾶνες. Αἰγυπτίοις ,,δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτὸς, εἶτα καὶ τετράμηνος ὥς ,,φασί· διὸ καὶ νεωτάτην χώραν οἰκοῦντες, ἀρχαιότα- ,,τοι δοκοῦσιν εἶναι, καὶ πλῆθος ἀμήχανον ἐτῶν ἐπὶ ταῖς ,,γενεαλογίαις καταφέρουσιν, ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν ἀριθμὸν τιθέμενοι.

## Ἐκ τῶν τοῦ Ξενοφῶντος
### Περὶ ἀχαριστίας.

„Δικάζονται δὲ οὐχ ἥκιστα ἀχαριστίας· καὶ ὃν ἂν γνῶ-
„σι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ,
„κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρί-
„στους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ πε-
„ρὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ
„μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία καὶ γὰρ αὕτη
„μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

---

## Ἐκ τῶν Γρηγορίου τοῦ Θεολόγου.
### Περὶ προεδρείας.

„Ὡς ὄφελόν γε μηδὲν ἦν προεδρεία, μηδέ τις τόπου προ-
„τίμησις, καὶ τυραννικὴ προνομία, ἵν' ἐξ ἀρετῆς μόνης
„ἐγινωσκώμεθα. Νῦν δὲ τὸ δεξιὸν τοῦτο, καὶ τὸ ἀριστε-
„ρὸν, καὶ τὸ μέσον, καὶ τὸ ὑψηλότερον, καὶ τὸ προ-
„βαδίζειν, ἢ συμβαδίζειν πολλὰ πεποίηκε τὰ συντρίμ-
„ματα ἡμῶν διακενῆς, καὶ πολλοὺς εἰς βόθρον ὦσε.

---

### Περὶ τάξεως καὶ ἀταξίας.

„Καὶ τὴν θρυλλουμένην δὲ φθορὰν καὶ προσδοκωμένην,
„μὴ ἄλλο τι, ἀδελφοὶ, ἢ πλεονασμὸν ἀταξίας νομίζομεν.

. . . . . . . . . . . . . . . . . . . .

„Τάξις μήτηρ τῶν ὄντων ἐστὶ καὶ ἀσφάλεια, καὶ τὸ τοῦ
„λόγου μόνη καλῶς ἂν εἴποι τοῦ τὰ πάντα δημιουργήσαν-
„τος, εἰ λάβοι φωνήν. ὅτε τὸ πᾶν οὐσιοῦτο τῷ θεῷ καὶ
„ὑφίστατο, ἐγὼ ἤμην παρ' αὐτῷ ἁρμόζουσα·

## Περὶ ἁπλότητος.

„Ἀφύλακτον ἡ ἁπλότης, καὶ μετὰ τοῦ σαθροῦ τὸ φιλάνθρω-
„πον· καὶ ἥκιστα κακίαν ὑφορᾶται τὸ κακίας ἐλεύθερον.

---

## 1808. Ὀκτωβρ. 30. ἀπὸ Νίζνης.

Φιλογενέστατε, καὶ τιμιώτατέ μοι φίλε κὺρ Ἰωάννη Μπάϊλα.

Ἀγαθῇ τύχῃ, μετὰ τὴν εἰς τὰ ἐδῶ ἀπὸ τῆς Μπατερίνης ἐπανάκαμψίν μου, ἐνέτυχον καὶ τῷ δευτέρῳ τόμῳ τῆς Ἑλληνικῆς βιβλιοθήκης, καὶ ἤδη ἐντρυφῶ αὐτῷ, τὰς εἰς τὸν Ἰσοκράτην τοῦ καλοῦ κἀγαθοῦ Κοραῆ σημειώσεις διαμασσώμενος, καὶ πολλῆς ἐξ αὐτῶν τῆς γλυκύτητος ἐμφορούμενος. Ἀναμέσον δ' αὐτῶν σποράδην ἐξάνοιξα μετὰ χαρᾶς καὶ μερικῶν τῆς συνηθείας λέξεων ἐξηγήσεις· τὰς ὁποίας κρίνω ἐπωφελὲς, νὰ προσεθῶσιν εἰς τὴν διατριβήν μου, ὡς συντεινούσας καὶ αὐτὰς εἰς τὸν σκοπόν της (καθὼς καὶ ἄλλας τινὰς προλαβόντως ἐκ τῶν εἰς Ἡλιόδωρον, καὶ ἐν τῷ προδρόμῳ σημειώσεων τοῦ ἰδίου Κοραῆ κατεχώρισα εἰς αὐτὴν) διὰ νὰ τὰς εὑρίσκουσιν οἱ φιλομαθεῖς ἀναγνῶσαι ἐν εὐκολίᾳ. Διὸ, παρακαλῶ σας ἀγαπητὲ, νὰ προσδεχθῆτε καὶ τοῦτο τὸ τελευταῖον ὀλίγον βάρος, νὰ προσυπωθῶσι καὶ αὐταὶ αἱ ἐξηγήσεις ἐν τῷ τέλει αὐτῆς, ὡς κατωτέρω, ταυτολεξεὶ μὲν ὡς αὐτὸς Κοραῆς ἐξηγήσατο, μὲ ἀποκοπὴν ὅμως τινῶν περιόδων διὰ τὸ συντομώτερον, φαίνονται κατεστρωμέναι.

---

Ἀδρύνω, Ἀδρὺς (σελ. 192) . . . . τοῖς ἀδροτέροις . . . . . . . . ὁ δὲ ἐτυμολόγος (σελ. 18) ἐξηγεῖται τὸ, Ἀδρὸς, διὰ τȣ̃ παρὰ τῇ συνηθείᾳ Χονδρός. παρ' ἡμῖν δὲ νῦν τὸ μὲν Ἀδρὸς ȣ̓κ ἔτι σώζεται· χρώμεθα δὲ τῷ συγγενεῖ καὶ συςοίχῳ αὐτȣ̃, Ἀδρὺς, ἐπὶ τῆς αὐτῆς σημασίας τȣ̃ Τραχύς. Ὅτι δὲ καὶ τὸ Ἀδρὺς τῆς ἀρχαίας ἐςὶ φωνῆς, καθάπερ τὸ Ἀδρὸς, ἢ μᾶλλον εἰπεῖν, ὅτι καὶ ἀναλογώτερον ὑπάρχει τȣ̃, Ἀδρὸς, ῥᾴδιον καταμαθεῖν ἐκ τȣ̃ παραγώγȣ ῥήματος, Ἀδρύνω, παραπλησίως σχηματισθέντος, Βαρύνω, παχύνω, ταχύνω.

## Ἄμε, καὶ Ἐξαμόνω (σελ. 277).

„ Καὶ Σύρε . . . . . . 287 . . . . . . καὶ ὅρα „μὴ τὸ ἡμέτερον, Ἄμε, διὰ τὸ ταυτοσήμαντον εἶναι τῷ „Ἄγε, παρ' αὐτὸ τȣ̃το νομίσῃς ἐσχηματισθῆναι τροπῇ „τȣ̃ γ εἰς τὸ μ. ἔςι γὰρ παλαιὸν ἄχρηςον θέμα, Ἄμω, „τὸ περῶ, τȣ̓τέςι τὸ ἐκ τόπȣ εἰς τόπον μεταβαίνω σημαῖνον· „οὗπερ ȣ̓δὲν σώζεται λείψανον, πλὴν τȣ̃ παρ' ἡμῖν προ„ςακτικȣ̃ μόνȣ, Ἄμε, καὶ πληθυντικῶς ἄμετε, καὶ „Ἀμεῖτε, παρὰ τὸ, Ἀμέω, καὶ τὰ παρὰ τοῖς ἀρ„χαίοις παράγωγα, Ἀμεύω, καὶ Ἀμείβω, καὶ αὐτὰ „πολλάκις τὴν ἐκ τόπȣ εἰς τόπον δηλȣ̃ντα μετάβασιν. „Ὅθεν καὶ Ἡσύχιος ἐξηγεῖται τὸ, Ἀμεύσασθαι, ἀμεί„βεσθαι, διελθεῖν, περαιώσασθαι, καὶ τὸ, Ἐξαμεῦσαι, „ἀποκινῆσαι. Καὶ ἴσως τȣ̓τȣ τȣ̃, Ἐξαμεύω, συγγενές

„τε καὶ συνώνυμον ἕτερον ὑπῆρχε πάλαι ϰ τὸ, Ἐξαμόω, „τῇ συζυγίᾳ μόνον διαφέρον· ὅθεν ἡ συνήθεια ἔπλασε „τὸ Ἐξαμόνω, ὅ ἐςιν ἀνατείνω τὴν χεῖρα, ϰ οἷον ἀποκινῶ „τȣ̃ λοιπȣ̃ σώματος . . . . . . . . . Σύρε . . . . . τὸ „δὲ προςακτικὸν ἀμεταβάτως, Σύρε, καὶ συνωνύμως „τῷ, Ἄμε, περὶ ȣ̃ ἐν τοῖς πρόσθεν εἰρήκαμεν, ἐπὶ τȣ̃, „Ἴθι, ἢ Ἄπιθι τέταχεν, οἷον, σύρε εἰς τȣ̃ δεῖνος, ϰ „σύρε εἰς τὸ καλὸν, ἀπ᾽ αὐτῶν ἤδη τῶν Βυζαντινῶν „συγγραφέων τὴν ἀρχὴν λαβόν· καὶ γὰρ Σȣΐδας διὰ „τȣ̃ τρέχω, ἑρμηνεύει.

Ἀκριβὸς, ἀκρίβεια (σελ. 16) Ταῖς δὲ πράξεσιν ἀκριβῶς . . . . . . . . . . . . Σημείωσαι δὲ καὶ τὸ, „Ἀκριβῶς, ἀντιδιεςαλμένον πρὸς τὸ, λαμπρῶς, ὥςε „σημαίνειν τὸ, Φειδομένως. Ἐντεῦθεν ὁρμηθεῖσα ἡ συ„νήθεια, Ἀκριβὸν λέγει τὸν πέρα τȣ̃ μετρίȣ φειδόμε„νον, καὶ Ἀκρίβειαν τὴν πρὸς τὰς δαπάνας ἀνελευθε„ρίαν. ἐφ᾽ ἧς σημασίας σχεδόντι καὶ Πλȣ́ταρχος (Πε„ρικλ. §. 36.) ἔταξε τὴν λέξιν — „ Χαλεπῶς ἔφερε „τὴν τȣ̃ πατρὸς ἀκρίβειαν, γλίσχρα καὶ κατὰ μικρὸν „αὐτῷ χορηγȣ̃ντος.

Αὐθέντης· (σελ. 330, 331) Τάχα δὲ καὶ τῷ „Εὐριπίδῃ, ποιητῇ τῶν πάνυ δοκίμων, πειθέντες εἰπόντι.

(Ικέτ. 442.)

Καὶ μὴν ὅπȣ γε δῆμος αὐθέντης χθονός.

„Τȣ̃το ἐπὶ τῆς σημασίας τȣ̃, δεσπότης, ἢ κύριος ἔξε-

,,δέξαντο ἅπαντες· εἰ γὰρ τὸ, αὐθέντης, τὸν αὐτερ-
,,γὸν σημαίνει, ὡς δηλοῖ καὶ τὸ παρ' Ἡσυχίῳ συγγε-
,,νὲς ὄνομα, Συνέντης, ἑρμηνευόμενον διὰ τοῦ συνεργός,
,,τί κωλύει καὶ ἐπὶ Δημοκρατίας (περὶ ἧς Εὐριπίδῃ ὁ
,,λόγος) τὸν δῆμον αὐθέντην καλέσαι, τουτέστιν αὐτὸν
,,τὰ ἑαυτοῦ ἐργαζόμενον καὶ κυβερνῶντα, καὶ μὴ ἑτέ-
,,ροις ὑπουργοῦντα. Παρ' ἡμῖν δὲ τὸ, αὐθέντης, παρὰ
,,τὴν σημασίαν τοῦ, δεσπότης, δηλοῖ καὶ τὸν πατέρα.

Διαγουμίζω, ἢ Κουβαλῶ (σελ. 62) . . . .

,,Διακομίσαιμεν] . . . . . . . . πορθήσαντες με-
,,τεκομίσαμεν τὸν πλοῦτον τῆς Ἀσίας εἰς τὴν Εὐρώπην.
,,Καὶ σημείωσαι, ὅτι αὐτὸ τοῦτο τὸ, Διακομίζω, ἡ
,,συνήθεια ἐκτρέψασα εἰς τὸ, Διαγουμίζω, ἐπὶ τῷ
,,πολέμῳ, ἢ ἄλλως πως διαρπάζειν τἀλλότρια τέταχε.
,,Ταύτης δὲ τῆς σημασίας τὴν χρῆσιν οὐδὲ οἱ ἀρχαῖοι
,,ὅλως ἠγνόησαν· τὸ γὰρ τοῦ Ἀριστοφάνους (Σφ. 1248)

,,Πολλὰ δὴ διεκόμισας σύ τε κἀγὼ,,

,,οὐδὲν ἕτερον σημαίνει, ἢ τὸ ἐν τῇ συνηθείᾳ ,, πολλὰ
,,ἐδιαγουμίσαμεν σὺ κ' ἐγὼ . . . . . . Τοῦτο δὲ τὸ δια-
,,γουμίζειν οἱ οὐ πρὸ πολλοῦ ἡμῶν ἀρχαιότεροι καὶ, Κου-
,,βαλῶ, ἔλεγον· ὥπερ ἡ νῦν συνήθεια ἐπὶ τοῦ ἁπλῶς
,,μεταφέρω, ἢ μετακομίζω κέχρηται. Τοῦ δὲ, Κουβα-
,,λῶ, χρῆσις εὕρηται ἐν τῷ συγγενεῖ καὶ συστοίχῳ,
,,Κοβαλικεύω . . . . . . . . . , Τοῦτο δὲ τὸ Κόβαλος
,,ἐγράφετο καὶ, Κέβαλος, ὃν Ἡσύχιος μὲν διάκονον
,,ἐξηγεῖται, ὃν περ ἡμεῖς Κουβαλητὴν ἂν εἴποιμεν νῦν. ὁ

„δὲ Σεΐαδας λῃςὴν· ἐπειδὴ ϗ τὸ, Κοβαλέυειν, ἢ Κε-
„βαλεύειν, ἐξηγήθη ἐ μόνον λῃςεύειν (Κυρίλλε λεξικῷ
„λέξις Κεβαλεύειν) ἀλλὰ καὶ μεταφέρειν τὰ ἀλλότρια
„μισθῆ κατ' ὀλίγον· ὅπερ ἐδὲν ὂν ἕτερον, ἢ τὸ παρ'
„ἡμῖν κεβαλῶ, ἐ συνῆκεν ὁ Κυςέρος.

Ἐξεύρω (σελ. 268) Ἐμὲ δὲ ἐκ ἂν οἴεται τοῦτ' ἐξευρεῖν . . . . ] „Σημείωσαι δὲ τὸ, ἐξευρεῖν, συνω-
„νυμεν πως ἐνταῦθα τῷ, γνῶναι. Ὅθεν καὶ ἡ συνήθεια
„παραλαβεσα τὸ, ἐξέυρω, ἐπὶ τε γινώσκω τέταχεν.
„ἔςι δὲ σαφέςερον τετο καταμαθεῖν ϗ ἐκ τε εἰς Λε-
„κιανὸν ἀναφερομένε διαλόγε, τε ἐπιγραφομένε, Φιλό-
„πατρις (§ 9) "καὶ τί τόδ' ἐςιν; ἐθέλω γὰρ παρὰ σε εἰδέναι, ὡς ἐξευρημένε τὰ τοιαῦτα." „Ὅπερ εἰς τὴν
„καθ' ἡμᾶς φωνὴν ὡδέπως ἂν μετενεχθείη" ϗ τί εἶναι τετο; διότι ἀγαπᾶ νὰ τὸ μάθω, ὡς ἄνθρωπον, ὅςις ἐξέυρεις τὰ τοιαῦτα.„ . . . . . . . Τὸν ἐξευρημένον
„ἡ χυδαία φωνὴ ἠξευράμενον λέγει, παρὰ τὸ ἐξεύρημι.

Θέτω (σελ. 52) Τίθημι] . . . . Ὑποθέτω λέγει
„τετο ἡ συνήθεια παρὰ τὸ ἁπλεν, Θέτω, *) ὃ πα-

---

*) Χάρις τῷ Κοραῇ, ὅτι δι' αὐτοῦ ἀνακαλέμεθα τὴν ἀρχαιότητα τε, Θέω, ῥήματος, τῇ παρενθέσει τε τ εἰς τὸ Θέτω μεταχηματιθέντος, καὶ μετὰ προθέσεων φαμὲν ἀποθέτω, καταθέτω, ὑποθέτω, συνθέτω.

Ὁ βελιςέα τοίνυν, ἢ ὡς ἐδὲν λογιςέα ἡ ἐν τοῖς πρόσθεν (σελ. 18) σφαλερά μοι εἰκασία, ἔχεσα ἕτως: „Ἀποθέτω ἀντὶ τε ἀποτίθημι, ταμιεύομαι· ἀποθεμένον φαμὲν, ἀντὶ τε ἀπόθετον, τὸ ταμιευόμενον. Ἐξ αὐτε τε, ἀπόθετον, παρῆκται τὸ, ἀποθέτω.

„ρὰ τὸ ἀρχαῖον, Θέω, παρ' ὃ καὶ αὐτὸ παρῆχθαι τὸ „τίθημι, δηλοῖ καὶ ὁ μέλλων Θήσω. Ἡμεῖς δὲ τοιαύτην „τινὰ ἐκαινοτομήσαμεν προσθήκην σοῦ τ, οἵαν καὶ οἱ τὸ „Α'νίτω, ποιήσαντες παρὰ τὸ ἀνύω.

---

Μέλλοντες ῥημάτων χρόνοι διὰ τοῦ Θέλω (σελ. 244)

Ἐθελήσει μεταχεῖν] . . . . . Σημείωσαι τὸ, ἐθε„λήσει, ὡς ἐκ τῶν τοιούτων τῆς συνηθείας παραλαβού„σης τὸ τοὺς μέλλοντας διὰ τοῦ θέλω ῥήματος σχη„ματίζειν. Καταδηλότερον δὲ τοῦτο γενήσεται ἐξ ἑτέρων „παραδειγμάτων ἀρχαίων, ὅπου καὶ κατ' ἐνεστῶτα συ„ναπτόμενον ἀπαρεμφάτῳ (ὥσπερ παρ' ἡμῖν) τὸ θέλω, „συνωνυμεῖ πως τῷ ὁριστικῷ μέλλοντι τοῦ διὰ τοῦ ἀπα„ρεμφάτου. Καὶ ἐκ μὲν τῶν ποιητῶν παρατεθείσθω μοι „τὸ τοῦ χαριεστάτου Ἀριστοφάνους „ οὕτως ἐθέλει κρατῆσαι (Σφ. 534)„ ὅπου τὸ, ἐθέλει κρατῆσαι, οὐδὲν πλέον „σημαίνει τοῦ, κρατήσει· ὅπερ ἡ συνήθεια παρὰ τοῖς „οὐ πολλῷ πρότερον γεγονόσιν ἐξέφραζε διὰ τοῦ, θέλει „νικήσειν, νῦν δὲ περιελοῦσα τὸ τελικὸν ν, θέλει νι„κήσει.

Παῤῥησιάζομαι (σελ. 122) . . . . Παῤῥησία] „ἐξουσία, ἄδεια τοῦ λαλεῖν, παρὰ τὸ πᾶς καὶ ῥῆσις· καὶ „παῤῥησιάζομαι, τὸ ἀδεῶς ἐν ἅπασι λέγω. ἡ δὲ συνή„θεια παρὰ ταῦτα, καὶ ἐπὶ τοῦ εἰς μέσον παρέρχομαι „καὶ ἐμφανὴς καθίσαμαι, κατὰ μέσην κέχρηται τῷ,

„παῤῥησιάζομαι. καὶ ἐνεργητικῶς, παῤῥησιάζω, ἐπὶ τοῦ „ἕτερον εἰς μέσον προάγω, καὶ ἐμφανῆ καθίσημι. Ἔοικε δὲ ἀπ᾽ αὐτῶν τῶν Πτολεμαϊκῶν χρόνων τὴν ἀρχὴν „λαβεῖν ἡ συνήθεια· ἐπεὶ καὶ τὸ παρὰ τοῖς ἑβδομή-„κοντα (ψαλ. 93) "Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο: „οὐδὲν ἕτερον ἐςιν, ἢ Θεὸς ἐκδικήσεων ἐπεφάνη.

Συμπεθερία (σελ. 229) . . . . . διὰ τὰς ἐπι-„γαμίας ] Ἐπιγαμία, φησὶν Ἡσύχιος, συγγένεια, ἢ „τὸ παρ᾽ ἄλλων ἄγεσθαι. ἔςι δὲ τοῦτο ἡ παρ᾽ ἡμῖν κα-„λουμένη συμπεθερία, ὡς καὶ τὸ συμπεθεριάζειν, ἢ „συμπεθερεύειν, φαμὲν αὐτὸ τὸ παρ᾽ ἀλλήλων ἄγεσθαι, „ἢ ἐπιγαμίας ἀλλήλοις ποιεῖσθαι. Αἱ δὲ λέξεις ἀπ᾽ αὐ-„τῶν ἤδη τῶν Κωνςαντίνου τοῦ πορφυρογεννήτου χρόνων.

Παρρέυω (σελ. 288) "συρματὶς, σπαρτία, ἡ τὰ συμψήματα καὶ φρύγανα σύρουσα καὶ συλλέγουσα„ „Σπαρτίαν ἔοικε καλεῖν Ἡσύχιος (ἐκ τῶν νεωτέρων λα-„βὼν τὴν λέξιν) αὐτὴν ταύτην τὴν φιλοκαλίαν, τὴν „καὶ κάλυντρον, καὶ κόρηθον, καὶ σάρον, καὶ σάρω-„θρον καλουμένην, διὰ τὸ ἐκ σπάρτων, ἢ σπάρτοις πα-„ραπλησίων φυτῶν, συνδεδεμένων συγκεῖσθαι τὰ σάρω-„θρα . . . . . . . . . . . . Καὶ σπαρτίον ἐκάλουν ἐπὶ „Εὐςαθίου, πλέγμα σπάρτων, ᾧπερ ἐχρῶντο ἐν τοῖς *)

*) Σπάρτζια, καὶ ἔτι κακοφωνεςέρως σπάρτζια λέγεται καὶ τὰ νῦν παρ᾽ ἡμῖν εἶδος σακκελίου, ἰδιωτικῶς εἰπεῖν μικρᾶς σακκούλας, οὐχὶ ἐκ σπάρτων πλεκτῆς, ἐκτρι-

„λετροῖς, εἰς τὸ σαμάτων ῥύπες ἐκτρίβειν . . . . .
„Καὶ ἐκ τέτων τῶν σπαρτίνων σαράθρων εἰκὸς καὶ τὸ
„σπαστρέυω, (ὥπερ ἡμεῖς νῦν, ἀφαιρέσει τε ἀρχικε στοι-
„χείε, Παστρέυω, λέγομεν ὡς ἐπὶ τὸ πολὺ) παραφθαρὲν ἐκ
„τε, Σπαρτέυω, τουτέστι σπάρτοις, ἢ σπαρτίοις κα-
„θαίρω.

Τζικρίκιον, καὶ Τζίκνα (σελ. 65) . . . . . .
„καθὰ ἐσχημάτισεν ἡ συνήθεια παρὰ τὸ Κρίκος, Κρι-
„κίον, Τζικρίκιον, καὶ παρὰ τὴν Κνίσσαν (συγκοπῇ
„τε ϗ ἀναδιπλασιασμῷ) τὴν Τζίκναν.

Τετο δὲν τὸ ἄκεσα (σελ, 32) . . . Σημείωσαι
„δὲ τὸ, τάυτας, πλεονάζον μετὰ τὸ, τὰς, πρός τε
„σαφήνειαν, καὶ ἔμφασιν πλείονα . . . . . . . . , .
„Καὶ ἡ συνήθεια δὲ ἐφύλαξε τὸ σχῆμα, λέγεσα "τε-
το δὲν τὸ ἄκεσα, ἢ δὲν τὸ ἄκεσα τετο"

---

χῶν δὲ τραχέων ὑφαντῆς, ἐπιτηδείε τυγχανέσης ἐπὶ τῷ τῶν λουομένων ῥύπες ἐυκόλως ἐκτρίβειν τε καὶ καθαίρειν. Δέδοται δὲ τοὔνομα τετο τῇ τοιάυτῃ σακκέλᾳ ἀναμφιβόλως κατὰ μεταφορὰν ἀπὸ τε σπαρτέυω, ὅπερ ἐδὲν ἕτερον δηλοῖ, ἢ τὸ καθαίρω.

Δὲν μὲ λανθάνει, φίλε κὺρ Ἰωάννη, ὅτι ἀναμέσον αὐτῶν τῶν καλῶν σημειώσεων τοῦ Κοραῆ εὑρίσκονται καὶ ἄλλων τῆς συνηθείας λέξεων ἐπωφελεῖς ἀναπτύξεις, ὅμως ἡ ἀσχολία μου δὲν συγχωρεῖ μοι κατὰ τὸ παρὸν, νὰ τὰς ἐξιχνεύσω, καὶ νὰ τὰς ἀντιγράψω.

Ἂς προσυπωθῶσι δὲ αἱ ἑξῆς, ὅσας ἐγὼ πρὸ ὀλίγου καιροῦ ἔλαβα εἰς τὴν μνήμην μου·

---

Ἀναβράει, φαμὲν, ἀντὶ τοῦ ἀναβρύει.

Ἀνάκαρα νὰ μὴν ἔχῃ; (ἤγουν ὁ διάβολος). Φράσις τῆς παρ' ἡμῖν τοῖς Ἠπειρώταις συνηθείας, ὑπὸ τῶν γυναικῶν ὡς ἐπὶ τὸ πλεῖστον λεγομένη, ὅταν τὸ τοῦ δαίμονος ὄνομα ὑπό τινος ἐκφωνεῖται, οἱονεὶ ἀποδιοπομπουμένων τὴν φρικώδη ταύτην φωνὴν, καὶ εὐχομένων, μηδέποτ' αὐτὸν ὑπεράνω τῶν ἀνθρωπίνων γίνεσθαι κεφαλῶν. Ἀνάκαρα, λέξις ἀπόζουσα ἀρχαιότητος, παρὰ τὴν, ἀνὰ, πρόθεσιν, τοῦ ἐπάνω ἐνταῦθα σημαντικὴν, καὶ τὸ, κάρα, ἡ κεφαλή.

Ἀναπάυθηκεν ὁ δεῖνα (ἀναυξήτως καὶ μετὰ τοῦ, κεν, ἰδιωτικοῦ προσχηματισμοῦ) ἤτοι ἀνεπαύθη, ἢ ἀνεπαύσατο, εὐφήμως ἐπὶ φίλου ἀποθανόντος φαμὲν, ἀντὶ τοῦ ἀπέπνευσεν, ἢ ἀπέθανε, τὴν τῶν ἀρχαίων διατηρήσαντες κατ' εὐφημισμὸν χρῆσιν, καθὰ καὶ Θεόκριτος (εἰδυλ. ά) ἔφη.

Χ' ἁ μὲν τόσσ' εἰπὼν, ἀνεπαύσατο· τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι. τά γε μαν λίνα πάντα λελοίπει
Ἐκ μοιρᾶν, χ' ὁ Δάφνις ἔβα ῥόον . . . . . . . . .

Καὶ Ὅμηρος.

Ὣς ὁ μὲν αὖθι πεσὼν, κοιμήσατο χάλκεον ὕπνον.

Καὶ Ἡρωδιανὸς ἱστορῶν τὸν τοῦ ἀοιδίμου Ῥωμαίων Βασιλέως Μάρκου θάνατον, ἔφη. „ὁ μὲν οὖν, νυκτός τε „καὶ ἡμέρας ἐπιβιώσας μιᾶς, ἀνεπαύσατο.„

Ἀναλόγιον· ἔσωσεν ἡ συνήθεια καὶ ταύτην τὴν ἀρχαίαν λέξιν, ἐπὶ μόνων ὅμως χρωμένη τῇ φωνῇ, τῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις κατὰ τοὺς τῶν ψαλλόντων χοροὺς ἱσταμένων κυλινδροειδῶν κιβωτίων, ἐφ' ὧν τίθεται πρὸς ἀνάγνωσιν τὰ ἱερὰ βιβλία. Εὕρηται τοὔνομα καὶ παρὰ Πολυδεύκει ὡδέπως.

„εἰ δὲ καὶ τὸ Ἀναλόγιον ἐθέλεις προσονομάζειν, „ἐπὶ τοῦ τοῖς βιβλίοις ὑποκειμένου.„

Ἀνιβάζω, ἀντὶ τοῦ, Ἀναβιβάζω.

Ἁπλάδι, ἁπλάδιον, ἁπλάδια καλοῦς λέγονται παρ' ἡμῖν τὰ στρογγύλα καὶ ἄκωλα ἀβάκια, ἢ δισκάρια, ἢ πινάκια, παρὰ τὸ, Ἁπλόω. Πολλοὶ δὲ κατ' ἄγνοιαν ὀλιγωροῦντες ταύτης τῆς πατρίου φωνῆς, χρῶνται ξέναις καὶ βαρβαρικαῖς λέξεσι, Πιάττο, καὶ Ταλλέρι λέγοντες. Ἁπλάδα δὲ θηλυκῶς ἡ μείζων τοῦ ἁπλαδίου, στρογγύλη τε καὶ αὐτὴ καὶ ἄκωλος, καθὰ καὶ πινάκα παρὰ τὸ, Πίναξ.

Ἀποθαίνω, τὸ ἀποθνήσκω, παρὰ τὸ ἀρχαῖον ἄχρηστον, Θαίνω, ῥῆμα. ὅτι ἦν πάλαι ποτὲ ἐν χρήσει τὸ Θαί-

νω, τὸ ἀγαθῇ τύχῃ ϗ μέχρι τοῦδε μετὰ τῆς ἀπὸ προθέσεως, παρὰ τῇ συνηθείᾳ σωζόμενον, μαρτυροῦσιν ὅ, τε μέσος αὐτοῦ μέλλων δεύτερος, Θανοῦμαι, καὶ ὁ ἀόριστος β' ἔθανον· ἔτι δὲ καὶ τὰ, Θάνοιμι, Θάνω, Θανεῖν, Θανών. Πρὸς δὲ, ἡ συνήθεια ἔσωσε καὶ τὸν α' ἀόριστον, ἀπέθανα λέγουσα.

Ἀπέστω ἡ νέμεσις, ὅτι ἄλλως περὶ τοῦ, ἀποθνήσκω, εἴρηταί μοι ἐν τοῖς πρόσθεν (σελ. 18) ἴσως καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις εὑρεθείην οὐκ ἀναμάρτητος· οἱ δὲ εἰδημονέστεροι ἀναγνῶσαι, εὐγνώμονες δ' ἄλλως καὶ ἀπαθεῖς, τὰ τοιαῦτα μου, εἴτε ἐξ εἰκασίας, εἴτε ἐκ παραδρομῆς ἁμαρτήματα ἐπιδιορθοῦντες, εὔελπίς εἰμι, ὅτι οὐκ ἀπαξιώσουσί με τῆς συγγνώμης.

Ἀποκόβω, ἀντὶ τοῦ ἀποκόπτω, τὸ ἀπογαλακτίζω: ἔσωσε καὶ ἐν τούτῳ ἡ συνήθεια τὴν τῶν ἀρχαίων χρῆσιν, καθὰ ϗ ἐν τῷ, Κρύβομαι, ἀντὶ τοῦ κρύπτομαι.

Ἀποφαίνομαι. (προσανάπτυξις τούτου: ὅρα σελ. 31) Καταχρᾶται ἡ χυδαϊκὴ συνήθεια τοῦ, ἀποφαίνομαι, ἐξαπατωμένη κατ' ἄγνοιαν ὑπὸ τῆς προσομοιοτωνίας τῶν, ἀπο καὶ ἐπι προθέσεων: Ὅτι τὸ μὲν, Ἀποφαίνομαι, σημαντικὸν τοῦ, ἀποφαντικῶς λέγω· τὸ δὲ, Ἐπιφαίνομαι, τοῦ ἐμφανίζομαι, ὡς παρὰ Λαερτίῳ. „Ἐκπατεῖν τε αὐτὸν ϗ ἐρημάζειν, σπανίως ποτὲ ἐπι„φαινόμενον τοῖς οἴκοι“ ϗ παρὰ Διονυσίῳ τῷ Κριτικῷ, „ἔπειτα οὐδὲ μόνος, οὐδὲ πρῶτος ἐπιφανήσομαι, περὶ „Πλάτωνος ἐπιχειρήσας τι λέγειν„.

Ἀρέγω, φαμὲν, ἀντὶ τοῦ, Ἀρέω, ἀρχαίου ῥήματος· οὗ παράγωγον τὸ, Ἀρέσκω. ἐκ τοῦ Ἀρέω, μελλ. ἀρέσω, τὸ τῆς συνηθείας, Ἀρεσιὰ, ἡ ἀρέσκεια:

Ἀργίρινοι, ἔθνος Ἠπειρωτικὸν, ὥ φησὶ Στέφανος ὁ Βυζάντιος, παράγων τὸν Λυκόφρονα εἰπόντα.

„ εἰς Ἀργυρίνους, καὶ Κεραυνίων νάπας.

Ἀρκλάματα, παρὰ τὸ, Ἄρκλα, τάφος, λάρναξ, κυβώριον· Ἀρκλώματα καλοῦσι τῶν παρ᾽ ἡμῖν χωρικῶν τινες τὰς ἐπὶ τῷ ἐνταφιάζειν προπαρασκευαζομένας πέτρας τε καὶ πλάκας, αἷς περιστέλλουσιν ἐν Κυβωρίου σχήματι τοὺς ἑαυτῶν νεκροὺς ἐν τοῖς τάφοις.

Ἄτζαλος, ῥυπαρὸς, ἀντὶ τοῦ Ἄτταλος, βαρβάρῳ τροπῇ τοῦ, ττα, εἰς τὸ ἐπίτριπτον τζα, παρὰ τὸ Ἀτταλαγέομαι τὸ, μολύνομαι. Ἄτζαλον καλοῦμεν καὶ τὸν ἀπολίτευτον.

Ἄψυχον. οὐκ ἄκομψος καὶ αὕτη τῆς συνηθείας λέξις· ἀντὶ ἀσθενὲς, ὑστερημένον δυνάμεως, ἢ λεπτόν. ὅπερ ἰσοδυναμεῖ τῷ παρ᾽ Ὁμήρῳ, Ἀμενηνόν.

†Βεδρὰ καὶ Γόφος, ἀντὶ τοῦ, μηρὸς καὶ ὀσφύς.

Βήσαλα, καὶ οὐχὶ Βίσσαλα ὡς ἐν τοῖς πρόσθεν (σελ. 41) βήσαλα κυρίως λέγεται παρὰ τοῖς παρ᾽ ἡμῖν χωρικοῖς μαύρων πετρίνων καὶ λίαν στερεμνίων πλακῶν μικρὰ κόμματα, ἅπερ ἐπὶ πολλῶν παρ᾽ αὐτοῖς ἐν χρήσει καὶ ἐν τῇ παροιμίᾳ.

Χάνει βήσαλα, κ᾽ εὑγάζει καρβέλια.

Δῆμος, καὶ νῦν παρ᾽ ἡμῖν κύριον ὄνομα, καθὰ καὶ παρὰ τοῖς πάλαι, ὡς τὸ „Δῆμος ὁ τὴν ὥραν κάλλιστος" κατ᾽ ἀγροιαν δὲ τῶν συμπατριωτῶν μου τινὲς, τῆς τύχης μικρόν τι προσηνεστέρως αὐτοῖς προσβλεψαμένης, ὀλιγωροῦσι τούτου τοῦ δισυλλάβου ὀνόματος, ὡς πένησι

νησι δῆθεν καὶ ζευγηλάταις προσήκοντος· διὸ χρεωστοῦντες κατὰ τὴν ἔκπαλαι παρ' ἡμῖν ἐπικρατοῦσαν συνήθειαν διδόναι τοῖς ἐκγόνοις τὸ τῶν πάππων ὄνομα, ὅταν τοῦτο τύχοι τὸ, Δῆμος, μετατρέπουσιν αὐτὸ, κατὰ τὸν τοῦ Λουκιανοῦ Σίμωνα εἰς τὸ τετρασύλλαβον Δημήτριος, εὐγενίζειν πως τῇ τροπῇ ταύτῃ οἰόμενοι τοῦ ὀνόματος.

Δίσκος, διάφορα αὐτοῦ τὰ σημαινόμενα, τὸ στρογγύλον κυρίως δηλοῦντα. Δίσκος ἐλέγετο καὶ ὁ πίναξ, καὶ ὑποκοριστικῶς δισκάριον τὸ ἄκωλον πινάκιον· διετήρησε μὲν ἡ παρ' ἡμῖν συνήθεια τὴν φωνὴν ἐπὶ μόνων τῶν ἐν ταῖς ἱεραῖς ἐκκλησίαις ἐν χρήσει ὄντων ἁπλαδίων, οἷον, ἐυγῆκεν ὁ ἐπίτροπος μὲ τὸν δίσκον τῆς ἐκκλησίας, καὶ ἄλλοι μὲ δίσκους διὰ ἐλεημοσύνας πτωχῶν, τῆς δὲ λέξεως τὴν σημασίαν παντάπασιν ἀγνοεῖ.

Ἐγκαστρωμένη, ἡ ἔγκαστρον ἔχουσα.

Ἐξατμίθη. ἤκουσά τινος οὐ πρὸ πολλοῦ κομψῶς πάνυ εἰπόντος· ἐξατμίθη ὁ γερογαβριήλ. ἐρωτήσαντι δέ μοι αὐτὸν, εἰ παρὰ πᾶσι τοῖς ὁμοπατρίοις αὐτοῦ ἐν χρήσει αὐτὸ τὸ χαριέστατον ῥῆμα, ἀπεκρίνατο, ναίσκε, ὅλοι τὸ λέγουν οἱ Κρητικοί. Μιμησάμεθα οὖν αὐτοὺς καὶ ἡμεῖς, ἀποσκορακίζοντες τὸ παρ' ἡμῖν πάντη καταχρηστικῶς ἐπὶ ἀθενῶν καὶ ἐπὶ ἰσχνότητος λεγόμενον „ἐσώθηκε μὲ τὴν ὁλότην.„

Καμπρολάχανον, παρατροπῇ τῶν συλλαβῶν, ἀντὶ τȣ͂, Κραμβολάχανον. Κράμβη γὰρ κυρίως αὐτὸ τȣ͂το ἐςὶ, τὸ ἰδιωτικῶς καμπρολάχανον.

Κανάλι, ἐξ Ἰταλῶν, ἀντὶ τȣ͂ ἡμετέρȣ, Ὀχετὸς, ἢ Ὑδραγωγεῖον, ἢ δεξαμενὴ, ἢ διάρυξ, ἢ αὖλαξ. λεγέσθω αὐλάκιον.

Καρτερῶ, σημαντικὸν κυρίως τȣ͂, Ὑπομένειν, ἐξ οὗ καὶ καρτερία, ἡ ἐν τοῖς πόνοις καὶ θλίψεσιν ὑπομονή. ἡμεῖς δὲ καταχρώμενοι, ἐκλαμβάνομεν αὐτὸ ἀντὶ τȣ͂, Καραδοκῶ, ἢ ἀναμένω, ἢ προσμένω, οἷον, αὔριον τὸν καρτερȣ͂μεν νάρθη. — „ τὸν καρτερῶ τόσαις ὥραις καὶ δὲν ἀποφαίνεται.

Καταιβαίνω, καταίβα, ἀντὶ, Καταβαίνω, κατάβα, λέγοντες ȣ͂ βαρβαρίζομεν. ἔθος γὰρ ἦν καὶ παρὰ τοῖς ἀρχαίοις μετὰ παρενθέσεως τȣ͂ ι ἐκφέρειν. καὶ Ἀριςοφάνης Καταιβάτην εἶπε τὸν Δία, ἀντὶ Καταβάτην. καὶ ἐν ἐπιγράμμ. „ εἰς Ἀΐδην πάντεσσι καταίβασις „.

Καύλωμα ἐπὶ φύσεως ὀργώσης μεταφορικῶς φαμὲν, παρὰ τὸ, Καυλὸς, τὸ ξύλινον ἄκρον τȣ͂ δόρατος, ὥπερ ἐναγκυλȣ͂ται τὸ κοῖλον τῆς λόγχης. καὶ ῥῆμα Καυλόνει.

Καυχᾶσαι, φαμὲν, ἀντὶ καυχᾷ. Τὰ ἑνικὰ γὰρ δεύτερα πρόσωπα τȣ͂ ἐνεςῶτος τῶν παθητικῶς γραφομένων ῥημάτων, εἰς α καὶ ῃ λήγοντα, μετὰ τȣ͂ σαι προσχηματισμȣ͂ ἐκφέρει ἡ νῦν συνήθεια, ἐν μὲν τοῖς

περισπωμένοις φυλάττεσα αὐτὰ τὰ ληκτικὰ, α͞, η͞, ἄτρεπτα, οἷον εἰς τὶ τόσον καυχᾶσαι. — ἀπὸ ὅλα κατηγορῆσαι ἢ καταφρονῆσαι — ἀδίκως λυπῆσαι. Ἐν δὲ τοῖς βαρυτόνοις τρέπεσα τὸ η͞, εἰς ε͞. οἷον ἀφ᾽ ἑαυτῦ σε καταισχύνεσαι — δὲν ἐντρέπεσαι — ἀντὶ καταισχύνῃ, ἐντρέπῃ. Τὸν τοιόνδε τῦ, σαι͞, σχηματισμὸν ὅτι ἐδὲ ἡ ἀρχαία ὅλως ἠγνόει συνήθεια, μαρτυρεῖ τὸ, ὀδυνάεσαι, ὀδυνᾶσαι.

Καὶ Λεκᾶς ὁ Εὐαγγελιςὴς ἔφη,

„Νῦν δὲ ὅδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι„

Οἷονπερ καὶ τὰ εἰς μι͞ ἑνικὰ δεύτερα, τίθεσαι, Ἵςασαι, Δίδοσαι, Ζεύγνυσαι, τῶν παθητικῶν πρόσωπα, φαίνεται ἐχηκότα.

Κλουβὶ, Κλουβίον, ἡ κύρτη, ἀντὶ Κλωβίον, ὡς εὕρηται καὶ παρ᾽ Εὐςαθίῳ. Κλωβίον, τὸ ὑποκοριςικὸν τῦ Κλωβὸς, ὡς ἐν ἐπιγράμματι.

„ Κλωβοὺς τ᾽ ἀμφιῤῥῶγας.

Κρατῶ. πολλὰ τέτε παρὰ τοῖς ἀρχαίοις τὰ σημαινόμενα, ἅπερ διετήρησε καὶ ἡ συνήθεια, πλὴν τῶν, ἐξουσιάζω καὶ νικῶ· ἐκλαμβάνει δ᾽ αὐτὸ ἔτι καὶ ἐπ᾽ ἄλλης σημασίας, ἀπὸ τῶν Πτωλεμαϊκῶν ὡς δοκεῖ ἀρξαμένης χρόνων, οἵα δὴ ἡ παρὰ τοῖς Ἑβδομήκοντα (Βασιλ. δ᾽) „καὶ ἐκεῖ γυνὴ μεγάλη, καὶ ἐκράτησεν „αὐτὸν φαγεῖν ἄρτον.„ καὶ ἡμεῖς φαμὲν „κράτησέ „τον νὰ φάγῃ ψωμί. μ᾽ ἐκράτησαν εἰς τὸ γεῦμα„.

Λαχταρᾶ, οὐκ ἀκόμψως παρὰ τῆς συνηθείας τὸ ῥῆμα ἐχηματίσαι τοῦτο, ἴσως παρὰ τὸ, Λάξ, κατὰ μεταφορὰν· σημαίνει γὰρ τὴν τῇ ψυχῇ, εἴτε ἐξ ὑπερβαλλούσης χαρᾶς, εἴτε ἐξ ἐρωτικοῦ συναντήματος, προσγινομένην δραστικὴν διάθεσιν.

Λάμια, ἀντὶ Λαμία, ὄνομα κατὰ τὴν μυθολογίαν Λυβίσσης γυναικὸς, ἐρωμένης τῷ Διΐ· ἥτις, τῆς Ἥρας διὰ ζηλοτυπίαν τὰ ἐξ αὐτῶν γινόμενα παιδία ἀναιρούσης, τὰ τῶν ἄλλων αὐτὴ γυναικῶν ἀναρπάζουσα βρέφη, ἔφθειρε. διὸ καὶ μέχρι τοῦδε τῷ τῆς Λαμίας τὰ παιδία αἱ τίτθαι, ὅταν κλαίῃ, ἐκφοβοῦσιν ὀνόματι. Λαμία καὶ Ἰταλικῆς πόλεως ὄνομα. Λαμία ἐκαλεῖτο καὶ Θετταλίας ἀρχαιοτάτη πόλις, ἡ πρὸς ταῖς τοῦ Πηνειοῦ ποταμοῦ εἰς τὴν θάλασσαι ἐκβολαῖς οὖσα τὸ πάλαι ἐκτισμένη. Σώζετ' αὐτῆς παρ' ἐμοὶ ἀργυροῦν νόμισμα, κάλλιστα ὂν κεκομμένον, ἔχον ἐγκεχαραγμένας, ἐξ ἑνὸς μὲν τῶν μερῶν κεφαλὴν Ἥρωος ἐστεφανωμένην (ἴσως εἰκὼν ἐστι τοῦ ἐνδοξοτάτου αὐτῆς ποτε ἀρχιστρατήγου Σκοπᾶ) ἑτέρωθεν δὲ ὑδρίαν Ἄμφωτον καὶ ἐπιγραφὴν, ΛΑΜΙΕΩΝ.

Μάσσε τὸ τραπέζι (ἐπαναληπτέα ἡ τούτου ἀνάπτυξις) τουτέστι τὰ ἐπὶ τῆς τραπέζης λείψανα τῶν σιτίων, καὶ τὰ ἀγγεῖα. Ἐπὶ σημασίας τοῦ συλλέγειν ἐκδέχεται ἡ συνήθεια κατὰ ὁριστικὸν (διὰ τοῦ, Θέλω) μέλλοντα χρόνον τὸ, Θέλω μάσσει, καὶ κατὰ ἀόριστον τὸ, Ἔμασα· καὶ προστακτικῶς τὸ, Μάσσε, καὶ ἀ-

παρεμφάτως διὰ τȣ̃ να, νὰ Μάσσω· οἷον, τὰ γεγνήματα ἐφέτος μὲ καλὸν καιρὸν θέλȣν τὰ μάσσει. „Ἔμασε σράτευμα· ἔμασες τὰ βερεσίδια; — „Μάσσε ὅσα ἔπεσαν κατὰ γῆς. — „σύρε νὰ μάσσῃς συκάμινα. φύλλα· ξύλα. λάχανα. Κατὰ δὲ ὁρισικὸν ἐνεσῶτα ἔφησι, Μάσσω, ἀλλὰ Μαζόνω, παρὰ τὸ Μαζῶ, τὸ τρυγῶ· ὅπερ παρά τισι καὶ μαζεύω λέγεται.

Τὸ Μάσσω ῥῆμα παρὰ τοῖς ἀρχαίοις ἄλλας εἶχε τὰς σημασίας, ὡς ἐν τοῖς λεξικοῖς, ὑποληπτέον ὅμως διὰ τὴν ὁμοιοφωνίαν ἐσχηκέναι παρά τισιν αὐτῶν καὶ τὴν τȣ̃ συλλέγειν.

Μέλει, δὶ ἑνὸς λ, ἔμελε, μελήσει, μελέτω, μέλειν, ῥῆμα ἀπρόσωπον, φροντίδος σημαντικὸν, δοτικῇ συντασσόμενον μετὰ συγκειμένης γενικῆς, ὁτὲ μὲν ἐλλειπτικῆς, οἷον, μέλει μοι τȣ̃ ἀνθρώπȣ, ἄλλοτε δὲ μετὰ καὶ τῆς προθέσεως, ὡς παρὰ Ξενοφῶντι "οἷς ἔμελε περὶ τȣ̃ φρουρίȣ„ ἢ παρὰ Ἰωάννῃ τῷ Εὐαγγελιςῇ, „καὶ ȣ̓ μέλει αὐτῷ περὶ τῶν προβάτων„

Καὶ ἐν ἐπιγράμματι Παλλαδᾶ.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοι.
Εἰ δὲ μέλει περὶ σȣ̃ δαίμονι, σοὶ τί μέλει;

Καθὰ ϗ ἡ συνήθεια τρέπȣσα τὴν γενικὴν εἰς αἰτιατικὴν, διὰ τῆς δια προθέσεως ἐκφέρει, οἷον, δὲν μὲ μέλει δὶ αὐτόν. — „δὲν σὲ μέλει κᾂν διὰ τὰ παιδιά σȣ — „δὲν τὸν μέλει, λάδι βρέχει; Ἔτι δὲ

καὶ μετὰ ἀπαρεμφάτε ἡ ἀρχαία αὐτὸ συνέταττε φωνὴ, ὡς παρ᾽ Ἡλιοδώρῳ. „μελήσει δέ μοι καὶ ὑποβεβρεγμένον αὐτὸν κατακλῖναι παρασκευάσαι„ καὶ ἡμεῖς φαμὲν „δέν με μέλει νὰ σκοτίζω τὸ κεφάλι με διὰ ξέναις ὑποθέσεις.

Μέλλω διὰ δύο λλ, πρὸς ἄλλοις σημαινομένοις ἐτύγχανεν ἐκλαμβανόμενον καὶ ἀντὶ τε, πεπρωμένον μοι ἐςὶν, ὡς παρὰ Σοφοκλεῖ (Αἴας μαςιγ:)

Ἔμελλες τάλας,
Ἔμελλες χρόνῳ ςερεόφρον
Ἄρ᾽ ἐξανύσειν κακὰν
Μοῖραν ἀπειρεσίων πόνων.

Ἐπὶ τῆς αὐτῆς σημασίας χρῆται τῷ, Μέλλω, καὶ ἡ νῦν συνήθεια, οἷον, μέλλω νὰ πάθω πολλὰ κακά. — μέλλεις νὰ πάθῃς τὰ ἀνίατα. — „μοῦ ἔμελλε νὰ τὰ πάθω· πρὸς τέτοις καὶ „μοῦ ἦτον μελλέμενον „φησί.

Μπεμπέκι λέγεται ὁ κάλυξ, βαρβαροχηματιθὲν ἴσως παρὰ τὸ, Βεβὼν, ὁ πρὸς ἄλλοις σημαινομένοις καὶ τε ἐξανθήματος σημαντικὸς, διὰ τὸ ἄνω βαίνειν οἰδήματος δίκην· διὸ ὤφειλε λέγεσθαι βουβώνιον, ἵνα δὲ μὴ πολὺ ἀπομακρυνθῶμεν τῆς νῦν προφορᾶς, συγγνωςέον λέγεσθαι καὶ βεβέκιον ἄνευ βαρβαρισμε.

Νοίκι, ἀντὶ ἐνοίκιον, ἐξ οὗ τὸ τῆς συνηθείας ἐκ ἄκομψον ῥῆμα, Ἐνοικιάζω· ἐξ αὐτε δὲ ὁ παρ᾽ ἡμῖν ἐνοι-

κιαςὴς (κατὰ τὸ, μεριςὴς, ἀπὸ τȣ͂ μερίζω) ὁ παῤ ἄλλοις ȣ̓ καλῶς λεγόμενος Νοικάτωρ, ἅτε προσομοιοφωνῶν τῷ, Σέλευκος ὁ Νικάτωρ, ὁ διὰ τὰς νίκας ȣ̔͂τως ἐπονομασθείς. (Νικατορὶς, ἥ φησὶ ςέφανος ὁ Βυζάντιος, πόλις Συρίας, κτίσμα Σελεύκȣ τȣ͂ Νικάτορος) ἀλλά γε αὐτῶν οἱ πλείȣς κατ' ἄγνοιαν μετὰ τȣ͂ ι. Νικάτορα γράφȣσι τὸν παρ' ἡμῖν ἐνοικιαςήν, οὓς δὴ μιμησάμενοι καὶ τῶν συμπατριωτῶν μου τινὲς, νικάτωρ καὶ νικάτωρας ἢ λέγȣσι καὶ γράφȣσι, καταφρονȣ͂ντες οὐ κατ' ἐπίγνωσιν τὴν τῆς πατρίδος φωνὴν, Ἐνοικιαςὴς, ὡς δῆθεν χυδαΐζȣσαν, καθὰ ἢ ἄλλας ἄλλοι ȣ̓κ ὀλίγας ἀηδεῖς, ἢ ξενιζȣ́σας λέξεις ἀλλαχόθεν ἐκλαβόντες, εἰς τὴν παρ' ἡμῖν κακῇ τύχῃ ἐγκατέσπειραν συνήθειαν. ὤφειλον δὲ ἢ ὀφείλȣσι μόνα τὰ παρ' ἄλλοις καλῶς λεγόμενα εἰς τὴν πατρίδα μετακομίζειν, πρὸς διόρθωσιν ἢ καὶ ἐξάλειψιν τῶν παρ' ἡμῖν κακῶς λεγομένων.

Ξείδι, ἀντὶ ὀξείδιον. Ξειδερὸς παρ' ἡμῖν λέγεται τὸ ἀγγεῖον τȣ͂ ὄξȣς, τȣ̓τέςιν ἡ Ὀξίς. ξινὸ κρασὶ, ἀντὶ Ὀξίνης.

Πανȣ͂κλα, λοιμὸς, ἴσως παρὰ τοῦ, πᾶν κλῶσα, τουτέςιν ἡ πάντα θραύȣσα ἢ φθείρουσα· συνωνυμεῖ τὸ, Πανȣ́κλα, ἢ ἰσοδυναμεῖ τῇ, Πανώλης, λέξει, συνθέτῳ καὶ αὐτῇ οὔσῃ ἐκ τȣ͂, πᾶν καὶ τȣ͂ ὀλέω.

Ῥάσον, μάλλινον καὶ τῷ χρώματι μαῦρον ἐπίβλημα τῶν μοναχῶν, ἐξ οὗ καὶ ὁ ῥασοφόρος. Παρά τισι δὲ τῶν

παρ' ἡμῖν χωρικῶν πᾶν μάλλινον ἐπίβλημα, εἴτε λευκὸν εἴτε μαῦρον, τὸ ἄνευ Φλόκου πρὸς κοινὴν αὐτῶν χρῆσιν ἐξεργαζόμενον, ῥάσον λέγεται.

Σβαρνίζω, φησὶν ἡ συνήθεια, ἀντὶ τȣ͂, σύρω πρᾶγμα τι ἐπὶ τῆς γῆς. τῶν δὲ παρ' ἡμῖν χωρικῶν τινες, ἐπὶ τῆς αὐτῆς σημασίας, καὶ ἄνευ τῆς τȣ͂ ν παρενθέσεως, σβαρίζω, φασίν. Εἰκάζειν ȣ͂ν ȣ̓κ ἀπεοικὸς καὶ ταύτην ἐκ τῶν τῆς ἀρχαιότητος λειψάνων εἶναι τὴν φωνήν· ἐπειδὴ οὐ παρ' ἡμῖν μόνοις, ἀλλὰ καὶ παρὰ πολλοῖς ἄλλοις ἐν χρήσει.

Σμίγω, θέλω σμίξει, ἔσμιξα, λέγουσα ἡ συνήθεια μετὰ προσθέσεως Αἰολικῶς τȣ͂ σ, διετήρησε τοῦ, Μίγω, μίξω, ἀρχαίȣ ῥήματος τὴν χρῆσιν· ἡ δὲ τοιαύτη τȣ͂ σ, πρόσθεσις μὴ λογισθείη χυδαϊσμός. ἐκ τȣ͂, Μίγω, παρῆκται τὸ μίγνω καὶ μίγνυμι.

Στάμενα (ὅρα σελ. 181) ὅτι παρὰ πολλοῖς ἄλλοις στάμενα λέγεται τὰ χρήματα.

Σταφνίζω, Αἰολικῶς φησιν ἡ παρ' ἡμῖν συνήθεια, καὶ Σταφνίζομαι κατὰ μέσην διάθεσιν, ἀντὶ τȣ͂ κοινῶς σταθμίζω καὶ σταθμίζομαι, καθὰ καὶ στάφνην ἀντὶ στάθμην (ὡς ἐν τοῖς πρόσθεν σελ: 182) Πολλὰ δὲ ἦν τὰ τȣ͂, Σταθμίζω καὶ σταθμίζομαι, παρὰ τοῖς πάλαι τὰ σημαινόμενα, ἤγουν τȣ͂, Ἰσάζω, ἢ Δοκιμάζω, ἢ ζυγοστατῶ, ἢ Ἰσομετρῶ, ἢ στοχάζομαι, ἢ Συμβάλλω καὶ Εἰκάζω· καὶ ἡ νῦν συνήθεια λέγει. — „Στάφνισε τὴν γούνιαν. — „ ἐσταφνίσθηκε νὰ μὲ κτυ„πήσῃ. — „ Ἐσταφνίσθηκες καὶ ἐκωλόκατζες. — „

„ἐςάφνισε τὸ σπαθί τȣ κατ᾽ ἐπάνωμȣ. — „ςάφνισε τὸ ἀλέτρι. καὶ ἄλλα.

Στειλειάρι, ςειλειάριον, ὑποκοριςικῶς τῷ σχήματι, ἀντὶ τȣ̃ πρωτοτύπȣ, Στειλειὸν, ὡς παρ᾽ Ὁμήρ. (Ὀδ. ε')

„Δῶκε μὲν οἱ πέλεκυν μέγαν ἄρμενον ἐν παλάμησι
„Χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, αὐτὰρ ἐν αὐτῷ
„Στειλειὸν περικαλλές . . . . . . . . . .

Συγκεριάζω, παρεσχημάτισαι ὑπὸ τῆς συνηθείας ἀπὸ τȣ̃, Συγκεράω, καὶ ἐπὶ τῆς αὐτῆς σημασίας.

Συντυχαίνω, Ὁμιλῶ, παρὰ τὸ Συντυγχάνω, τὸ πρὸς ἄλλοις σημαινομένοις καὶ ἐπὶ ὁμιλίας ἐκλαμβανόμενον, ὡς τὸ, Ἐντευξόμενος, ἀντὶ τȣ̃, Διαλεχθησόμενος καὶ Συνδιαλεχθησόμενος· φίλον γὰρ τῇ συνηθείᾳ πολλὰ τῶν ἀρχαίων ῥημάτων μετασχηματίζειν εἰς τὸ αινω, οἷον, Καταςαίνω, Αὐξαίνω, Πλαταίνω, καὶ ἄλλα, κατὰ μίμησιν, τȣ̃ κερδαίνω, Θερμαίνω.

Ἢ γραπτέον μετὰ τȣ̃ ε Σύντυχένω, παρὰ τὸ ἀρχαῖον ἄχρηςον ῥῆμα, Τυχέω (ȣ̃ παράγωγον τὸ Τυγχάνω) καὶ μετὰ τῆς συν προθέσεως Συντυχέω, παρενθέσει δὲ τȣ̃ ν Συντυχένω. Ἐκ τȣ̃ Συντυχέω καὶ τὸ, συντυχία, ὁμιλία, συνέντευξις, τὸ παρὰ πολλοῖς τῶν ἡμετέρων ὁμογενῶν ἔτι ἐν χρήσει, παρ᾽ ἡμῖν δ᾽ οὔ.

Σώνω. ἴσως ἐν καταχρήσει παρὰ τὸ, Σάω, τὸ Σώζω. Αὐτὸ τὸ, Σώνω, κακῇ τύχῃ παρ᾽ ἡμῖν πολυσήμαν-

μαντον ἐστι· λέγεται γὰρ καὶ ἀντὶ τοῦ, ἀπέλιπεν. οἷον ἐσώθη τὸ ἀλεῦρι, ἐσώσαμεν τὸ βούτυρον. καὶ ἀντὶ τοῦ φθάνω, οἷον, ποτὲ μὴ σώσῃς νὰ τ' ἀπολαύσῃς. —,, ,, ὡς τὸ βράδυ σώνομεν. καὶ ἀντὶ τοῦ, λεπτύνομαι ὑπὸ ἀσθενείας, οἷον, ἐσώθηκε μὲ τὴν ὁλότην. καὶ ἀντὶ τοῦ, ἔφθειρεν, οἷον, ὅσα εἶχε, τά 'σωσε. καὶ μετὰ προθέσεως ἀντὶ τοῦ, κοινοποιῶ, οἷον, ὅσ' ἄκουσες, ὑπῆγες εὐθὺς καὶ τ' ἀπόσωσες. καὶ ἀπροσώπως, σώνει, ἀντὶ τοῦ ἀρκεῖ. Ἐξοστρακιστέα οὖν ἀπὸ τῆς ἡμετέρας συνηθείας αὕτη ἡ πολυκέφαλος τοῦ σώνω κατάχρησις·

Τανάλια ἐξ Ἰταλῶν, ἀντὶ τοῦ ἡμετέρου, Τομεῖον, ἢ Τομεὺς, τὸ σιδηροῦν δίχηλον ἐργαλεῖον, τὸ ἐπὶ τῷ ἀνασπᾷν καὶ ἐκκρούειν τοὺς σιδηρέους ἥλους ἐπιτήδειον.

†Τζέργα, εἶδος εὐτελοῦς ἐπιδεμνίου ἐφαπλώματος. ξένη οὐ δοκεῖ αὕτη ἡ βαρβαρόμορφος λέξις. τίνος δὲ ἡ παραφθορὰ, συμβαλεῖν οὐχ οἷός τε ἐγενόμην.

### Καὶ ἐν τῇ παροιμίᾳ.

Κατὰ τὴν Τζέργα σου καὶ τὰ ποδάρια σου ἅπλωνε.

Τζινῶ, παραφθορὰ ἴσως καὶ τοῦτο τοῦ, βινῶ, ἀρχαίου ῥήματος· ὅπερ καὶ κυρίας μὲν δοκεῖ ὑπάρξαι σημασίας τοῦ, Κεντῶ, Νύττω, ὡς καὶ ἀπὸ τῆς συνηθείας πιστώσασθαι ἔχομεν· φησὶ γὰρ, μ' ἐτζίνησε μὲ τὸ βελόνι. καὶ τὸ τῆς παροιμίας.

„ Ὅποιος τζινάει τὸν γάϊδαρόν, ἀκέει ταῖς πορδαῖς τε.
Κατὰ μεταφορὰν δὲ καὶ τὲ, Συνεσιάζειν, ὡς παρὰ Λεκιανῷ „ καὶ βινεῖν τὴν Ἄτλαντος θυγατέρα„ ἀν„τὶ τὲ, γαμεῖν, καθὰ καὶ αὐτὴ αὖθις συνήθεια „λέγει, ὁ δεῖνας τὴν ἐτζίνησεν, ἀντὶ τὲ, αὐτὴν ἐγάμησε. Καταδηλότερον δὲ τῦτο καὶ ἐξ ἄλλων ἀρχάιων καθίςαται παραδειγμάτων, οἷα καὶ τὰ παρὰ Θεοκρίτῳ, Ἐτρύπη, καὶ Κατήλασα, ἄλλων μὲν τυγχάνοντα κυρίως σημαντικὰ, κατὰ μεταφορὰν δὲ καὶ ἐπὶ τὲ συνουσιάζειν ἐκλαμβανόμενα.

( Εἰδ : ε. )

Ἡνίκα ἐπύγιζόν τυ, τὺ δ᾽ ἄλγεες· αἱ δὲ Χίμαιραι
Αἶδε κατεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.

Καὶ κατωτέρω.

Ἢ οὐ μέμνασ᾽, ὅγ᾽ ἐγὼν τὺ κατήλασα, ἢ τὺ σεσαρὼς
Εὖ ποτε κιγκλίζευ, καὶ τᾶς δρυὸς εἴχεο τήνας.

Ἔτι δὲ καὶ τὰ, Ὀπύειν, Ὀχεύειν, καὶ Περαίνειν. ἅπερ καὶ ἐπὶ φυσικῆς μίξεως ἐλέγετο, ἄλλων ὄντα κυρίως σημαντικά. Ἑπομένως καὶ τὸ, Βινεῖν, μεταφορικῶς κατ᾽ εὐφημισμὸν ἀντὶ τὲ συνουσιάζειν ἐκλαμβάνεσθαι, ἐκ ἂν λογισθείη ἀπίθανον, ὡς ἕυρηται

Καὶ ἐν ἐπιγράμματι.

Ἁδὺ τὸ Βινεῖν ἐςί· τίς ἐ λέγει; ἀλλ᾽ ὅταν αἰτῆ
Χαλκὸν, πικρότερον γίνεται Ἐλλεβόρε.

Τοιγάρσοι, ἐπίῤῥημα τῆς παρ' ἡμῖν συνηθείας (εἰ καὶ παρ' ἄλλοις ἐν χρήσει, ἐκ οἶδα) ἀντὶ τῦ, ἆρα γε, καὶ τῦ, μή τι, ἐκλαμβανόμενον. οἷον, Τοιγάρσοι αὐτὸς εἶναι — ,,Τοιγάρσοι ἐγὼ τ' ὄκαμα· ἴσως ἀντὶ τῦ, Τοιγάρτοι, οὗπερ τὴν μὲν φωνὴν ἐφύλαξε, τρέψασα μόνον τὸ, τοι, εἰς σοι, τὴν δὲ κυρίαν αὐτῦ σημασίαν παντάπασιν ἀγνοεῖ, διὸ καὶ καταχρᾶται αὐτῷ ἐξ ἀγνοίας. ὅτι τὸ, Τοιγάρτοι, ἰσοδύναμόν ἐςι τοῖς, Τοιγαρῦν, τέτε ἕνεκα, ὅθεν δὴ, διὰ τῦτο δὴ ὖν.

Τριχιὰ, τὸ παχὺ σχοινίον. Οἱ παρ' ἡμῖν χωρικοὶ τὸ τοιῦτον πλέγμα, ὅταν ἐξ αἰγείων πλέκηται τριχῶν, Τριχιὰν κυρίως καλῦσιν· ὅταν δὲ ἐξ ἄλλων εἰδῶν, ἄλλη καὶ ἄλλη ἐπωνυμία κατὰ τὰς ἑκάςων συνηθείας. Ἡμεῖς δ' αὐτὸ οἱ πολῖται, εἴτε ἐκ τριχῶν, εἴτε ἐκ σχοίνε, εἴτε ἐκ Κανάβε, εἴτε ἐκ σπάρτων τυγχάνοι ἐξεργαζόμενον, τὸ μὲν παχύτερον Τριχιὰν καλῦμεν, τὸ δὲ ψιλότερον σχοινὶ σχοινίον. ὥςε καὶ ἐκ τέτε, ὡς καὶ ἐξ ἄλλων ἤδη πολλῶν καταμαθεῖν ῥᾴδιον, ὅτι ἡ τῶν παρ' ἡμῖν χωρικῶν προφορικὴ ὁμιλία καθαρωτέρα τῆς ἡμετέρας.

Φέλιουρον, ὑποδερμὶς φλοιῦ δένδρε ποιοῦ. (ἴσως τοῦ Φιλύρα λεγομένε) ἥτις βρεχομένη, καὶ ἐξεργαζομένη ἐπὶ πολλῶν καθίςαται χρήσιμος.

Χαυδόνω, φησὶν ἡ συνήθεια, ἀντὶ τοῦ, ἐκτείνω τὰ σκέλη, ἴσως παρενθέσει τοῦ ν ἀντὶ, Χαυδόω, ἀρχαίου ῥήματος. καὶ ἐπιῤῥηματικῶς, Χαυδωτὰ, τουτέστιν ἐκτεταμένοις τοῖς σκέλεσιν, ὡς καὶ ἐν τῇ χυδαϊκῇ ᾠδῇ λέγεται" Χαυδωτὰ δρασκελωτά. Τὸ, χαυδόω, εἰ καὶ παρ' οὐδενὶ τῶν παρ' ἡμῖν λεξικῶν εὑρίσκεται καταπεχωρισμένον, μὴ λογιστέον ὡς ξενίζον, ἢ ὡς ἀποκύημα τῆς χυδαιότητος· ἀπόζειν γὰρ δοκεῖ ἀρχαιότητος, ἅτε οὐ μόνον παρὰ τοῖς ἡμετέροις, ἀλλὰ καὶ παρὰ τοῖς Θετταλικοῖς χωρικοῖς τυγχάνον ἐν χρήσει, καθὰ καὶ ἄλλαι πολλαὶ τῆς ἀρχαιότητος λέξεις τῆς τῶν μεθ' Ὅμηρον συγγραφέων ἐκπεσοῦσαι χρήσεως, ἀγαθῇ τύχῃ σώζονται παρὰ τῇ συνηθείᾳ, ὡς ἐπὶ τὸ πλεῖστον τοῖς χωρικοῖς ἐπιχωριάζουσαι.

Χλαῖνα. προσετέθη ἐνταῦθα ἡ (ἐν τῇ σελ: 138:) παραλειφθεῖσα περιόδος, ἐσχηκεῖα οὕτω.

„Καὶ Θεόκριτος ἐν τῷ (εἰδ: λά. Ἡρακλίσκος ἐπιγραφομένῳ) καὶ ἐπὶ εὐναίου ἐφαπλώματος ἐξέλαβε τὸ, χλαῖνα.

Ἦτοι ὅγ' εὐθὺς ἄϋεν, ὅπως κακὰ θηρία ἀνέγνω
Κοίλου ὑπὲρ σάκεος, καὶ ἀναιδέας εἶδεν ὀδόντας
Ἰφικλέης· οὖλαν δὲ ποσὶν διελάκτισε χλαῖναν (*)
Φευγέμεν ὁρμαίνων,

„(*) τουτέσι τὸ ἐνεύναιον πεπλωματίδιον, ᾧπερ
„ἀμφότερα τὰ τῆς Ἀλκμήνης νήπια ἐτύγχανεν ὄντα
„ἐσκεπασμένα.

Χελιάρι φαμὲν, παρατροπῇ τῶν πρώτων συλλαβῶν ἀντὶ τῦ, Κοχλιάριον,

Χύνω, θέλω χύσει, ἔχυσα, χύσε, νὰ χύσω, χυμένον, φησὶν ἡ συνήθεια, παρενθέσει τῦ ν, ἀντὶ τῦ, Χύω, ἀρχαίȣ ῥήματος.

Ψαλιδίζω, ψαλίδιον, ἀντὶ ψαλίζω, ψαλίς.

ὡς παρ᾽ Ἀνακρέοντι.

„Τὰ πτερὰ σεῦ τὰ κῦφα,
„Θέλεις, λαβὼν ψαλίξω.

Ταῦτα δὴ, Φιλόμȣσοι ἀναγνῶσαι, μέχρι τῦδε τὰ τῆς ἐμῆς διατριβῆς. καὶ εἴ τι μὲν χρήσιμον ἐν αὐτῇ, καὶ τοῖς μαθητιῶσιν ἐπωφελὲς, τῷ Θεῷ χάρις· τὰ δ᾽ ἡμαρτημένα ὑμεῖς εὐνοϊκῶς ἐπιδιορθῶντες, ἔῤῥωσθε.

## Διόρθωσις τῆς ὑπὸ τȣ̃ τυπογράφȣ (ἐν τοῖς πρόσθεν σελ: 32) κολοβωθείσης τȣ̃, Α΄ς, ἰδιωτικȣ̃ μορίȣ ἐξηγήσεως.

Α̃ς, καθ' Ἡσύχιον, ἀντὶ τȣ̃ ὅπως, ἢ ἕως, ἢ μέχρις ȣ̃. παρὰ δὲ τῇ νῦν συνηθείᾳ ἄλλης αὐτὸ τυγχάνει σημασίας, ἢ δυνάμεως· προτιθέμενον γὰρ τῶν ῥημάτων, ἀποτελεῖ προςακτικὴν τῆς συνηθείας ἔγκλισιν ἐπὶ τρίτȣ προσώπȣ· οἷον, ἂς εἶναι ἔτζι, ἔςω οὕτως. —„ ἄφησέ τον καὶ ἂς φλυαρῇ.

Πρὸς δὲ καὶ τὰ ἀνθυποτακτικὰ χωρὶς τȣ̃ μορίȣ, Α̃ς τȣ́τȣ, ἐκφέρεσθαι ȣ̓ δύναται· οἷον, ἂς τὸ δοκιμάσωμεν καὶ αὐτό. —„ ἂς φύγωμεν λοιπὸν ἀπὸ ἐδῶ· ὅπερ ἐνταῦθα ἰσοδυναμεῖ τοῖς παρακελευσματικοῖς, Ἀγε, φέρε· οἷον, ἄγε ἀριθμήσωμεν, ἂς μετρήσωμεν· ἢ πιθανώτερον εἰπεῖν, παραφθορά ἐςι τȣ̃, Ἀγε.

Χρώμεθα δ' αὐτῷ ἔτι καὶ ἐν ἑνικῷ πρώτῳ προσώπῳ, οἷον, ἂς τὸ κάμω, καὶ ὅ, τι πάθω ἂς πάθω, κατὰ τὸ παρὰ Λȣκιανῷ „ ἀλλὰ φέρε ἴδω, εἴ τι σοι ἐδώδιμον ἡ πήρα ἔχει „ ὅπερ εἰς τὴν ἡμετέραν φωνὴν ὧδέ πως ἂν μεταφρασθείη, “ἀλλ' ἂς ἴδω, ἂν ἔχει τίποτε φαγȣλὸν ἡ σακκȣ̃λα σȣ.„

---

## Ἴσον ἐπιςολῆς τȣ̃ ἐπεράςȣ μοι συμμαθητȣ̃ Ἰωάννȣ Πετζαρȣ́λη.

Τȣ̃το βέβαια τὸ τȣ̃ Ἰσοκράτȣς ἐν προοιμίοις, ὅτι τὴν τῶν βεβαίως φιλȣ́ντων ἀγάπην ȣ̓δ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειε· πόσοι ἄρα χρόνοι διέππευσαν; πόσας μεταβάσεις μετέβημεν; πόσαι μεταβολαὶ βίων καὶ εἰς τȣ̀ς δύο; ἀλλ᾽ ἡ ἀγάπη, πάλιν ἀγάπη· διότι ȣ̓́τε ἐκλείπει, ȣ̓́τε περπερευεται, ȣ̓́τε ζητεῖ μόνον τὸ ἑαυτῆς, ἀλλὰ καὶ τὸ τȣ̃ φίλȣ καὶ ἀδελφȣ̃. Τȣ̃το βλέπω ἀναφλεγόμενον πάντοτε παρ᾽ ἐμȣ̃ πρὸς αὐτὴν, τȣ̃το βεβαιȣ̃μαι ἀμοιβαδὸν καὶ παρ᾽ αὐτῆς πρὸς ἐμέ. Πολλάκις ἠρεύνησα, ἐρωτῶν τὰ κατ᾽ αὐτὴν, καὶ πολλάκις ἐβεβαιώθην τὴν εὐτυχῆ εἰς τὸν ἐλεύθερον τόπον μετοικίαν, καὶ συζυγίαν, καὶ ἐμπορίαν της, καὶ ἐχάρην ἀμέτρως ἐπὶ τȣ́τοις, ἐπιλέγων καὶ τὸ „τῷ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς“: Ἐγὼ δὲ περιβλέψας ἐμαυτὸν ἀπροσφυῆ εἰς ἄλλην εὐτυχεςέραν τȣ̃ βίȣ ςάσιν, ἔκρινα νὰ ζήσω μὲ τὴν παιδοτριβικὴν ἐπιςασίαν, ὅσον πρὸς πορισμὸν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων· καὶ δὴ τȣ̃ ἔργȣ τȣ́τȣ ἐχόμενος, παρῴκησα πρότερον καὶ ἐν ἀλλοδαποῖς, παροικῶ ἤδη καὶ ἐν τῇ δυςυχεῖ πατρίδι μȣ, ζῶν ἡσύχως, καὶ φέρων ὄχλον παιδαγωγίας, καὶ μεμνημένος τῶν παλαίποτε πιςῶν φίλων καὶ ἀδελφῶν μȣ. Ταῦτα τὰ κατ᾽ ἐμὲ φίλτατα συντόμως· περιμένω δὲ χανδὸν τὴν χρυσῆν μȣ ἀπάντησίν της, διὰ νὰ ςη-

ρίχθῶ εἰς τὴν στήριξιν τῆς ἀγάπης της· καὶ ἂν ἀσμενίζηται, θέλει συνομιλῶμεν ἀλλήλοις καὶ διὰ γραμμάτων ἐν ἄκροις τῆς γῆς πέρασιν, οἱ ἀδελφικῇ στοργῇ ποτε, ὡς ὁ Ὀρέστης τε καὶ Πυλάδης, συνδεδεμένοι. Ἐῤῥωμένος μοι ζώης περιπόθητε, καὶ εὐτυχείης τὸν διπλοῦν ἄνθρωπον.

Τῆς ὑμετέρας ὑπερηδίστου
μοι εὐεργετικωτάτης χρησιμολογιότητος

Φίλος ὡς ἀδελφὸς καὶ εἰς τοὺς
ὁρισμοὺς ἕτοιμος

Ἰωάννης, ὁ ποτὲ ἀγαπητὸς αὐτῆς
συμμαθητής.

1786 δεκεμβρίου. 12.
ἐκ Τυρνάβου Λαρίσσης.

Εἰς τὸν ἐν μακαρίᾳ τῇ λήξει Κοσμᾶν Μπαλάνου Βασιλοπούλου, τὸν ἱερώτατον καὶ φιλοσοφώτατον μέγαν οἰκονόμον καὶ διδάσκαλον Ἰωαννίνων.

## ΕΠΙΓΡΑΜΜΑ

Κλεινὸν ἔδος πάτρης, αἴ! ἔμελλε πανύστατον εὖχος
Σὸν ἄρα ἐκλείψειν, Κοσμᾶ ἀποιχομένου.
Κλεινὸς κλεινοῦ πατρὸς ὃς ἔσκε γόνος, σόν τ' ἕρμα,
Ἠδ' ἱερὸς κόσμος σοῖς τεκέεσσι φίλοις.
Ξὺν τοῖς, σοί τε ὁμῶς, τεὰ κήδεα λυγρὰ, πατρός τε
Νοσφισμὸν πενθῶ κ'αὐτὸς, ἑκὰς τελέθων.
Ὑψόθεν ἀλλὰ σὺ σῶν μάκαρ αἰὲν κήδεο παίδων,
Τριάδι πρεσβεύων, σῶζε τ' ἐνεγκαμένην.

Εὐγνώμων μαθητὴς καὶ φίλος Γ: ὁ Κ: 1808. ἐν Ν.

---

„ . . . . . . . . καὶ οἰκεῦντες ξανθᾶς ἕδος αἰπὺ Διώνας.
(Θεοκ. : εἰδ : Ζ')

Εἰς τὸν ἐπέρασον μικρὸν Πάλην

## ἘΠΙΤΥ'ΜΒΙΟΝ

---

Ὄμφακ᾽ ἐόντα πικρός με τρύγησε μόρος, δειλαίαν
Δειλαίοις βιοτὰν ἐκτελέσας γενέται.
Οὔνομά μοι Ἀλέξανδρος· ἔην τριετὴς, ψελλίζων
Γλώσσας τρεῖς, πάτριον, Σλαβονικὴν x), Γαλικήν x).

---

x) βο, καὶ λι, διὰ τὸ μέτρον, ἀντὶ βω, καὶ λλ.

Τῆς εἰς λίθȣς ὑπὸ τῶν ἀρχαίων ἐθνῶν προσνεμομένης (ὡς ἐν τοῖς πρόσθεν περὶ ἀργῶν λίθων εἴρηται) θρησκείας ἐχόμενά ἐςι καὶ τὰ περὶ τῆς ἐμπλήκτȣ αὐτῶν ἀσελγείας ἱςορȣ́μενα, τὰ ἐν προσχήματι ἐυσεβείας ἀσεβῶς ὑπ᾽ αὐτῶν τελȣ́μενα.

ὡς παρ᾽ Ἡροδότῳ περὶ Βαβυλωνίων

„Αἴσχιςος τῶν νόμων ἐςὶν ὅδε· δεῖ πᾶσαν γυναῖκα
„ἐπιχωρίην, ἱζομένην εἰς ἱερὸν Ἀφροδίτης, ἅπαξ
„ἐν τῇ ζωῇ μιχθῆναι ἀνδρὶ ξείνῳ.“

Αὐτὸς δ᾽ ἔτι ἀλλαχȣ͂, καὶ ἄλλοι ὁμοίως προσιςορȣ͂σιν, ὅτι καὶ ἐν πολλαῖς ἄλλαις τῆς Ἀσίας χώραις, καὶ κατ᾽ ἐξοχὴν ἐν τοῖς Κομάνοις πόλει τῆς Ἀρμενίας, ἐχ ἅπαξ τȣ͂ βίȣ μόνον, ἀλλὰ καὶ καθ᾽ ἡμέραν συγκεχωρημένον ἦν, ὡς ἔννομόν τι, τὰς γυναῖκας ἔνδον τῶν βωμῶν εἰς τιμὴν αὐτῆς τῆς ἀσάτȣ θεᾶς μοιχεύεσθαι ἐπὶ μισθῷ· καὶ ὁ μισθὸς ȣ̔͂τος ἀφοσιωμένος ἐτύγχανεν ὢν τῇ τε θεᾷ καὶ τοῖς νεωκόροις. Αὐτῆς τῆς αἰσχροτάτης κακοπραγίας μετέσχον καὶ οἱ τῷ Βάαλ, καὶ τῇ Ἀςάρτῃ προσκυνήσαντες Ἰσραηλῖται.

ὡς παρὰ τῷ Μιχαίᾳ κεφ: ά.

„ Καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσι, καὶ „ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν ἐν πυρὶ, „ καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισ„ μόν· διότι ἐκ μισθωμάτων πορνείας συνήγαγε, καὶ „ ἐκ μισθωμάτων πορνείας συνέστρεψεν.

Ἱστορούμενον δ᾽ ἔτι, ὅτι οὐκ ἐν τῇ Ἀσίᾳ μόνον, ἀλλὰ καὶ ἐν τῇ Κύπρῳ, τῇ τε Μεσσήνῃ τῆς Σικελίας, καὶ τῇ Κορίνθῳ διετέλεσε γιγνομένη ἐπὶ μισθῷ ἡ τοιαύτη μυσαρὰ κατάχρησις.

---

Οὐ μετριωτέρας δ᾽ ἦν ἀσχημοσύνης καὶ ἡ τῆς Φαλλαγωγίας τελετὴ, ἐν ᾗ τοῦ τερατώδους αἰδοίου ἐφ᾽ ἁμάξης πομπευομένου λαμπρᾶς, γυναῖκας ἔσθ᾽ ὅτε καὶ τῶν πάνυ σωφρόνων, ὡς ὀφειλόμενον ἐλογίζετο εἰς τίμὴν τοῦ αἰσχίστου θεοῦ, ἄνευ συστολῆς τινος, καὶ γυμνοῖς τοῖς μηροῖς καθέζεσθαι ἐπὶ τοῦ αἰδοίου, ἐπὶ θεατῇ παντὶ τῷ συνοργιάζοντι δήμῳ· οἱ δ᾽ ἀποτρόπαιοι τῆς πομπῆς τελεσταὶ, ἐκ ὀλίγης ἐκ τούτου μετεῖχον τῆς αἰσχροκερδείας.

---

Ἀσελγομανὲς δὲ καὶ τοῦτο· γυναῖκες εὐγενῶν καὶ πλουσίων, αἱ πρὸς πᾶν ἀσελγείας εἶδος ὀργῶσαι, συνεκάθευδον Νάνοις καὶ συνέπαιζον, διὰ τὸ τοὺς Νάνους μεγάλα, κατὰ τὸν Θεόφραστον, καὶ τερατώδη ἔχειν τὰ αἰδοῖα, ὡς δῆθεν παιδιὰν καὶ αὐταὶ χαρίεσσαν τῷ ἀποπτύστῳ θεῷ ἀφοσιούμεναι.

ὡς παρὰ Κλήμεντι τῷ Ἀλεξανδρ:

„ Καὶ συνανακλίνονται τοῖς Φοξοῖς παίζουσαι, συκκίνοις „ τέρασι γαννύμεναι.

καὶ παρ' Ἀνωνύμῳ. — „ Συκκίνουσαι τέρασι.

καὶ παρὰ τῷ Χρυσοστόμῳ

„ Τέρασι, καὶ μωροῖς καὶ Νάνοις· καὶ γὰρ ἁμαρ„ τήματα ταῦτα φέρουσιν εἰς τέρψιν.

---

Καὶ παρὰ Γρηγ: τῷ Θεολ: περὶ Φαλλῶν καὶ Πανός·

„ Τοὺς Φαλλοὺς καὶ Ἰθυφάλλους, καὶ τοὺς μελαμ„ πύγους, καὶ τὸν τραγόπουν, τὸν σεμνὸν Πᾶνα, „ τὸν ἐκ πάντων μνηστήρων ἕνα θεὸν, καὶ ὄνομα λα„ βόντα τὴν ὕβριν, ὥσπερ ἦν ἄξιον· δεῖ γὰρ ἢ ἀδι-

„ κἂν παρ᾽ ἐκείνοις εἰς πολλὰς ἕνα ϗ τὸν κράτιςον
„ ἢ ἐκ πολλῶν γίνεσθαι καὶ τὸν αἴσχιςον.

## Καὶ παρ᾽ Ἀηθαίῳ περὶ Ἰθυφάλλων.

„ Οἱ δὲ Ἰθύφαλλοι καλέμενοι, προσωπεῖον με-
„ θυόντων ἔχεσι, ϗ ἐςεφάνωνται, χειρίδας ἀνθινὰς
„ ἔχοντες. χιτῶσι δὲ χρῶνται μεσολεύκοις, καὶ περιέ-
„ ζονται Ταραντίνιον κάλυπτρον, αὐτῦ μέχρι τῶν
„ σφυρῶν. σιγῆ δὲ διὰ τῦ πυλῶνος εἰσελθόντες,
„ ὅταν κατὰ μέσην τὴν ὀρχήςραν γένωνται, ἐπιςρέ-
„ φεσιν εἰς τὸ θέατρον λέγοντες, Ἀνάγετε, εὐρυχωρίαν
„ ποιεῖτε τῷ θεῷ· ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυ-
„ ρωμένος διὰ μέσε βαδίζειν.

---

## Καὶ παρὰ τῇ ἀνθολογίᾳ.

Πορφυρὶς ἡ Κνιδίη τὰ ςέμματα, καὶ τὸ *) δίθυρσον
 Τῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον,
Οἷς ἀνέδην βάκχευεν, ὅτ᾽ ἐς Διόνυσον ἐφοίτα,
 Κισσῷ τὴν ςέρνοις νεβρίδ᾽ ἀναπτομένη,
Ἁβροκόμη Διόνυσε, πρὸ παςάδος ἠώρησε.
 Ταῦτα τὰ τῦ κάλλυς κόσμια, καὶ μανίης.

---

*) αἴσχιςον τὸ σχῆμα, ὡς ἐν ταῖς Ἡρακλεοτικοῖς ἀρχαιότησι, καὶ ἡ πρᾶξις ἀσελγεςάτη· διὸ καὶ ἡ ἀνάπτυξις ὡς ἀηδὴς παρασιωπητέα.

Καὶ Θεόκριτος ἐν τῷ δ΄. ἐπιγράμματι σύκκινον τὸν Φάλητα καλεῖ ὧδέπως.

Τὴν αὐτὰν λαύραν, τῶς αἱ δρύες αἰπόλε, κάμψας
Σύκκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,
Τρισκελὲς, αὐτόφλοιον, ἀνούατον, ἀλλὰ Φάλητι
Παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.

---

Οἱ δὲ Αἰγύπτιοι πρὸς πολλοῖς ἄλλοις ἀτοπήμασιν ὑπερέσχον πάντας τοὺς ἀσχημονοῦντας καὶ ἑτέρῳ εἴδει ἀσελγείας, κτηνώδει τε καὶ βδελυρωτάτῳ. Ἐν τῇ Μένδῃ γὰρ πόλει τῆς Αἰγύπτου ἐθρησκεύετο κατ᾽ ἐξοχὴν ὁ Πᾶν καὶ ὁ τράγος· καὶ ἦν νενομοθετημένον, τὰς γυναῖκας ἐν τῷ ναῷ εἰς τιμὴν τοῦ θεοῦ βατεύεσθαι ὑπὸ τράγων, ὁμοίως ἐπὶ μισθῷ· διὸ οἱ ἐξάγιστοι νεωκόροι ἔτρεφον τράγους μεγάλους, καὶ ἔθιζον αὐτοὺς ἐπιβαίνειν, καὶ μίγνυσθαι γυναιξίν. αἱ δὲ γυναῖκες τῶν Αἰγυπτίων ἀκόρεστοι παντὸς εἴδους τυγχάνουσαι ἀσελγείας, συνήρχοντο θαμὰ ἐν τῷ ναῷ, καὶ ἐπορνεύοντο ὑπὸ τῶν τράγων, ἄλλαι μὲν συγκαθειργνύμεναι αὐτοῖς ἐν τοῖς ἀδύτοις, ἄλλαι δὲ καὶ ἀναφανδὸν ἄνευ συστολῆς τινος ἐπὶ πολλοῖς τοῖς θεαταῖς.

ὡς παρὰ Πινδάρῳ.

„ Μένδητα παρὰ κρημνὸν θαλάσσης
„ Νείλȣ κέρας ἔ αἰγίβατος,
„ Ὅθι τράγος γυναιξὶ μίγνυται.

Καὶ παρ᾽ Ἡροδότῳ,

„ Ἐγένετο ἐν τῷ νομῷ τȣ́τῳ ἐπ᾽ ἐμεῦ τȣ̃το τὸ τέρας.
„ γυναικὶ τράγος ἐμίγνυτο ἀναφανδὸν, τȣ̃το εἰς ἐπί-
„ δειξιν ἀνθρώπων ἀπίκετο.

Καὶ παρὰ Πλȣτάρχῳ

„ Ὁ δὲ Μενδήσιος ἐν Αἰγύπτῳ τράγος λέγεται πολ-
„ λαῖς καὶ καλαῖς συνειργνύμενος γυναιξὶν, ȣ̓κ εἶναι
„ μίγνυσθαι πρόθυμος, ἀλλὰ πρὸς τὰς αἶγας ἐπτόη-
„ το μᾶλλον.

Καὶ παρ᾽ Αἰλιανῷ.

„ Ἀκόλαστοι δὲ κυνοκέφαλοί τε καὶ τράγοι· ȣ̃τοι μὲν
„ καὶ ὁμιλεῖν γυναιξὶ φασὶν αὐτȣ̀ς.

## Μετάφρασις τȣ̃ προοιμίȣ τῶν ἐν τῇ εἰς τὴν Ἑλβεττίαν ἀναβάσει ἐφημερίδων τȣ̃ Γενεραλισίμȣ Ῥωσσίης κυρίȣ Σȣβορόβȣ, τȣ̃ ϗ Ἰταλικȣ̃ Πρίγγιπος, καὶ Γράφȣ Ῥημνικȣ̃.

---

Τῇ 9': τȣ̃ Σεπτεμβρίȣ ἀπὸ τῆς Ταβέρνης.

Ὁ λόρδ Μιλγρὰβ διεμαρτύρετό μοι, ὅτι ἡ Βρεττανικὴ βȣλὴ ȣ̉κ ἄλλως φρονεῖ περὶ τῆς εἰς τὴν Ἑλβεττίαν ἀναβάσεως τȣ̃ τῆς ὙΜΕΤΕΡΑΣ ἸΜΠΕΡΑΤΟΡΙΚΗ͂Σ ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ ϛρατȣ̃, εἰμὴ ὡς ȣ̉ προσῆκον μοι αὐτῆς προκατάρξασθαι, πρὶν τὴν Ἑλβεττίαν αὐτὴν ὑπὸ τȣ̃ ἀρχιδȣκὸς Κάρλȣ ἐλευθέραν τȣ̃ ἐχθρȣ̃ εἰς τὸ παντάπασιν ἀποκαταϛαθῆναι. Πρὸς δ' ἔτι ἀνακεκοίνωτό μοι καὶ τὰς τȣ̃ Καισαρικȣ̃ πρώτȣ βȣλευτȣ̃ Τȣγȣ́τȣ, τῷ ἐν Βιέννῃ Βρετταικῷ πρέσβει πανηγυρικῶς ἐκδηλαθείσας ἐπιβεβαιώσεις, ὡς ὅτι ὁ ἀρχιδοὺξ Κάρλος ȣ̉κ ἄν ποτε τῆς Ἑλβεττίας ἐξέλθοι πρὶν τῆς εἰς αὐτὴν εἰσβολῆς τῆς ἐμῆς· ϗ ὅτι περὶ τȣ́τȣ ἐπιϛελεῖ αὐτῷ. Ἠπάτησεν ὅμως αὐτὸν, προϊέμενος τὸν καιρὸν, μέχρις ȣ̃ ὁ Ἀρχιδοὺξ ἔφθη ἐξελθών.

Τῷ δὲ καιρῷ τῆς ἐμῆς ἀπὸ τῶν πέριξ τῆς Τορτίνης (τῇ 31 Αὐγȣ́ϛȣ) ἀποχωρήσεως παρήγγειλα τῷ τȣ̃ Καισαρικȣ̃ ἱππικῷ Στρατηγῷ Μελάσῳ, πεμφθῆναί μοι ἡμιόνȣς ἀχθοφόρȣς καὶ ὑποζυγίους, ὅσοι ἂν ἐξαρκέσειαν ἐπὶ πᾶσαν μου τὴν ὀρεινὴν ἐκϛρατείαν. Αὐτὸς δὲ Μέλα-

σος πέπομφέ μοι τοὺς ὑπὸ μόνῃ τῇ Ὀρεινῇ πυροβολικῇ ἐξαρκέσαντας, διϊσχυριζόμενος περὶ τῶν λοιπῶν ἡμιόνων, ὅτι πρὸ ἡμῶν εὑρεθείησαν ἐν τῇ πόλει Βελινσῶνι ἕτοιμοι. Χρέος δ' οἱ ἔτι ἦν συναποπέμψαι ἡμῖν ϗ τὴν ἄλλην ἀποσκευὴν μέχρι τῆς τȣ̃ Κόμνȣ λίμνης.

Συνεχεῖ τῇ πορείᾳ ὁρμάμενοι διὰ τῶν κατὰ τὴν ἁμαξητὸν πρώτων ὀρέων, ἑβδομαῖοι ἀφικνούμεθα εἰς τὴν Ταβέρνην, μίλια δέκα τῆς Βελινσῶνος ἀπέχȣσαν· ἔνθ' ȣ̓δένα εὕρομεν τῶν ἡμιόνων. Ὁ δὲ Καισαρικὸς γενεράλης Τέλλερ μετὰ τῶν προξένων ἀνερυθριάςως ἐξαπατῶσιν ἡμᾶς διπροσώποις ταῖς ὑποσχέσεσιν, ὥςε ἡμέρας ἤδη πέντε ἀργῶς καθήμεθα ἐν τῇ Ταβέρνῃ. Ἡ τοιαύτη ἀεργία ἡμῶν χορηγεῖ τῷ ἐχθρῷ καιρὸν διορθώσεως καὶ προμήθειαν τρόπων καινῶν, ὡς' ἐν ἐπικινδυνεςάταις ἀποκαταςῆσαι ἡμᾶς περιςάσεσιν. Ἀπορουμένοις δ' ȣ̓̃ν ἡμῖν ȣ̓δὲν ἄλλο μέσον ἐγκαταλέλειπτο, εἰμὴ ὑπὸ τῇ ἀποσκευοφορίᾳ χρήσασθαι τῷ ἱππικῷ τῶν Κοζάκων. Αὐτῆς τῆς σωτηρίου συμβουλῆς ἐπὶ κοινῇ ἡμῶν παρηγορίᾳ αἴτιος ὁ μέγας Δὲξ Κωνςαντῖνος. Ἐν τȣ́τῳ φθάνȣσι ϗ οἱ τετρακόσιοι ἡμίονες μετὰ τῶν δεσποτῶν αὐτῶν, οἱ ἀπὸ τῆς Ἰταλίας μέχρι Βελινσῶνος ἐπὶ μισθῷ ἀχθοφορήσαντες· Ἀγαθῇ τύχῃ αὖθις αὐτοὺς ἐμισθωσάμεθα ὑπὸ τῇ ἀποσκευῇ, εἰς ὅσον ϗ ὅπῃ ἡμῖν χρεία ἔςαι. τὸ δ' ὑπολειπόμενον αὐτῆς οἱ τῶν Κοζάκων ἀνεπληροῦσιν ἵπποι καὶ οὕτως ἤδη ἐξερχόμεθα τῆς Ταβέρνης.

## Τῇ 3 Ὀκτωβρίου ἀπὸ τῆς πόλεως Φελδκιρχένης.

Ὁ τῆς ὑμετέρας Ἰμπερατορικῆς μεγαλειότητος τροπαιοφόρος στρατὸς ἐνδοξασθεὶς κατά τε γῆν καὶ θαλάσσας, φιλοτιμεῖται τανῦν ἐν τῷ ἐνταῦθα ἑτερογενεῖ πολέμῳ ἐπὶ τοῖς σωροῖς τῶν ὑπερυψήλων καὶ ἀποτομωτάτων Ἄλπεων ἀπαραδειγματίστῳ τῷ μὴ ἀπειρηκέναι καὶ τῇ ἀφοβίᾳ. Ἐξελθὼν γὰρ τῆς Ἰταλίας ἐπὶ κοινῇ τῶν Ἰταλιωτῶν δυσαρεσκείᾳ, (ἵνα μεθ' ἑαυτὸν ἐγκατέλειπε δόξαν ἐλευθερωτοῦ) διώδευσε σειρὰς ἀγριωτάτων ὀρέων· ἐπὶ παντὸς βήματος τῆς ἐνταῦθα ὀρεινῆς δεσποτείας τοῦ φόβου καὶ τρόμου, χάσματα φρικωδέστατα καὶ ἀποτομώτατα βράχη προαρπάζουσι τὰς ὁράσεις ἡμῶν, οἱονεὶ κεχηνότα ὁλοκλήρους καταπιεῖν στρατειάς· ὁ παχὺς ἀτμὸς τῶν νεφῶν, ἡ σκοτία τῆς νυκτὸς, οἱ ἀκατάπαυστοι ἀστραποβροντοφόροι ὑετοὶ, τὰ ἐκ τῶν νιφοέντων ἄκρων ποταμηδὸν πολλῷ τῷ ῥοίζῳ, καὶ ἀγριοφώνῳ τῷ συριγμῷ, διὰ τῶν καταῤῥακτῶν εἰς τὰς χαράδρας καταῤῥέοντα ὕδατα, καὶ λίθους μεγάλους πολλῷ τῷ πατάγῳ συνεπάγοντα, μεγαλύνουσι τὴν φρίκην, καὶ τὸν τρόμον ἡμῶν. Ἀκολούθως ἐπιφαίνεται ἡμῖν καὶ ὁ μέγας Κολοσσὸς τῶν ὀρέων, ὁ τοῦ ἁγίου Γοτάρδου καλούμενος· οὗπερ ἐν ταῖς ὑπωρείαις οὐδὲν ἄλλο τι παρίσταται τῇ θέᾳ ἡμῶν ἀναβαινόντων, εἰμὴ οἱονεὶ θάλασσα, καὶ αἱ τῶν κατωτέρω ὀρέων ἀκρωνυχίαι οἱονεὶ τοσαῦται νῆσοι ἐν αὐτῇ κυμαινομένῃ· τοιαύτην γὰρ μορφὴν

ἀποτελῦσιν ἐν τοῖς κάτω ὅ, τε παχὺς ἀτμὸς τῶν νεφῶν, καὶ οἱ καταῤῥηγνύμενοι ὑετοὶ, καίτοι ἐν ταῖς κορυφαῖς αὐτῶν εὐδίας οὔσης. Πρὸς τούτοις καὶ ἕτερον ὄρος οὐ πολὺ μεῖον τοῦ πρώτου Φόγελον ὑπὸ τῶν ἐγχωρίων καλούμενον. ἀλλ' ἅπαντες οἱ κίνδυνοι καὶ πᾶσαι αἱ δυσκολίαι κατισχύονται. Ἐπὶ τοιούτοις γὰρ μετὰ τῶν στοιχείων προσπαλαίσμασιν ἡμῶν, ὁ ἐχθρὸς καί τοι ἐν ἀποτόμοις τρώγλαις, καὶ ἐν ὑπερδεξίοις τοποθεσίαις ἐμφωλεύων, ὑποστῆναι ὅμως οὐκ ἐξισχύει τῷ θάρσει καὶ τῇ ἀνδρείᾳ τοῦ ἐν τούτῳ τῷ νέῳ θεάτρῳ ἐπιφανέντος στρατοῦ, καὶ πανταχόθεν ἐξωθούμενος φεύγει.

Ὁ δὲ ὑμέτερος στρατὸς καταβαίνων ἀπὸ τοῦ Γοτάρδου, πορεύεται διὰ τῆς ὑπωρείου σκοτεινῆς τρύπης *) οὐνζερλόχ καλουμένης, καὶ καταλαμβάνει τὴν ἐπὶ τοῦ Ῥούσου ποταμοῦ γέφυραν, τὴν τοῦ δαίμονος καλουμένην, θαυμασίως ὑπὸ τῆς φύσεως ἐκ δύο ὀρέων, ταῖς ἀκρωνυχίαις συνημμένων συνισταμένην, ἥν περ ὁ ἐχθρὸς φθάσας πρὸ τοῦ, κατηναμάλισεν, ὥστε πάντῃ δυσδιάβατον ἀποκαταστῆσαι. Ἡ δ' ἀπορία ὅμως αὕτη

---

*) ἡ ὑπερώρειος αὕτη τρύπα ἐκτείνεται εἰς μῆκος τριακοσίων ὀργυιῶν, ἀποπερατουμένη πλησίον τῆς τοῦ δαίμονος γεφύρας.

ἐ ἀνακόπτει τὲς νικητὰς· σανίδες τοῖς σάρφοις *) τῶν ἀξιωματικῶν προσάπτονται· ἐπ᾿ αὐταῖς τροχάζουσιν ἀφόβως, ἄλλονται κατὰ τῶν κρημνῶν, καταφθάνεσι τὸν ἐχθρὸν καὶ κατακαίεσι.

Πρὸς τέτοις ἄφευκτος ἦν καὶ ἡ ἐπὶ τὸ νιφόεν ὄρος ἀνάβασις, Βίνσερον λεγόμενον, τὸ ἀπαύστως ἐκ τῆς διαλυομένης χιόνος ὑγραινόμενον, διὸ καὶ πηλῶδες καὶ δυσανάβατον, τῶν ποδῶν, ὁτὲ μὲν τῷ πηλῷ κατεχομένων, ὁτὲ δὲ τοῖς γλίσχοις ὀλισθαινόντων, ἀνάγκη δ᾿ ἦν ὅμως πορεύεσθαι, καὶ κατὰ τὸ ἄναντες ἐνίοτε, καὶ δι᾿ αὐτῶν τῶν καταῤῥακτῶν, λίθες ὀ σμικρὲς καὶ κόμματα πεπηγμένης χιόνος μέγιστα συγκαταφερόντων. Ἔνθα συχνοὶ τῶν ἱππέων τοῖς σφοδρᾷ τῇ ῥύμῃ καταῤῥέεσιν ὕδασι συγκατεφέροντο κατὰ πρανὲς· ἐξ ὧν πολλοὶ μὲν ἀπέθανον, ἄλλοι δὲ καὶ ἐσώθησαν.

Ἀδυνατεῖ ὁ κάλαμος πρὸς ἐξήγησιν αὐτῆς τῆς θηριωδεστάτης εἰκόνος τῆς φύσεως· μόνη ἡ ἐνθύμησις

---

*) ταῖς χρυσαῖς πλεκταῖς Ζώναις.

αὐτῆς πληροῖ τὰς ψυχὰς ἡμῶν ῥίγους καὶ φρίκης, καὶ κινεῖ αὐτὰς εἰς τὸ προσφέρειν ἐνθέρμους τὰς ἐντεύξεις καὶ εὐχαριστίας τῷ Ὑψίστῳ· οὗ ἡ παντοδύναμος ἀόρατος δεξιὰ ἀναφανδὸν ἐπεσκέπτετο τὸν εἰς τοῦτο ζήλῳ τῆς θείας πίστεως ὁρμηθέντα ὑμέτερον στρατόν· ἅπαντα δὲ τὰ τῇδε συμβάντα, κατιὼν διηγήσομαι.

---

Μετάφρασις καὶ τοῦ βασιλικοῦ ῥεσκρίπτου, ᾧπερ ὁ Αὐτοκράτωρ αὐτὸν τὸν Σουβόροβον τῷ τοῦ γενεραλισίμου ἐτίμησεν ἀξιώματι.

---

Πρὸς τοῖς πολλοῖς ἄλλοις, οἷς κατὰ τοῦ ἐχθροῦ ἐστήσατε τροπαίοις, ἀπέκειτο ὑμῖν καὶ αὐτῆς τῆς φύσεως ὑπερισχῦσαι, ἀλλὰ καὶ αὐτῆς ὑπερεσχήκατε. Ἔτι δ' ἅπαξ τροπωσάμενοι αὐτὸν, τὸν καὶ τῆς πίστεως ἐχθρὸν, κατεπατήσατε ἐπ' αὐτῷ καὶ τὰς παγίδας τῶν κακίᾳ καὶ φθόνῳ ἐξοπλισθέντων καθ' ὑμῶν. Διὸ ἀνταμείβω ὑμᾶς κατὰ τὸ μέτρον ἐπιγνώσεως τῆς ἐμῆς. Τιθεὶς γὰρ ὑμᾶς ἐπὶ τοῦ ὑπερτάτου βαθμοῦ τῆς τιμῆς τῶν ἡρώων, πεπληροφορημένος εἰμι,

ὅτι ἀναβιβάζω ἐν αὐτῷ τὸν περιφανέστατον ἀρχιστράτηγον τοῦ τε παρόντος, καὶ τῶν παρελθόντων αἰώνων.

Παῦλος,

---

Τῷ κυρίῳ μου διδασκάλῳ μετὰ τὴν χρεωστουμένην προσκύνησιν ἀφοσιούμενος ταύτας μου τὰς ταπεινὰς μεταφράσεις, ἐξαιτοῦμαι ἐμαυτῷ τὰς πανιέρους αὐτοῦ εὐχάς, ὁ ταπεινὸς μαθητὴς “ — “ — “ 1800.

ΤΕΛΟΣ.

## Παροράματα. ἀντὶ.

| | Σελ. | |
|---|---|---|
| προθημηθῆναι | 3 | προθυμηθῆναι |
| καταχωρῆσαι | 4 | καταχωρίσαι. |
| αἲ αἲ! ἀνιηρέ | 5 | αἲ αἲ! ἔρως ἀνιηρέ· |
| ἄγκαρος. ἀγγάκει. | — | ἄγκαρος, ἀγκάρεια. |
| περισπομένων | 6 | περισπωμένων. |
| σχῆμα χειρός | 7 | σχῆμα ἀγκῶνος χειρίς. |
| ἔκγλησιν | — | ἔγκλησιν. |
| ἀργοῖκον τῷ ὄντι | 8 | ἀγροῖκον τῷ ὄντι. |
| ἀντὶ τοῦ | — | ἀντὶ τȣ̃. |
| αὐτῷ δὴ τῷ τῆς Αἰνιάνων. | 9 | αὐτῷ δὴ τῷ τῆς τῶν Αἰνιάνων. |
| κατεχωρήσαμεν | 10 | κατεχωρίσαμεν. |
| ἡ Ἤπειρος | — | ἡ Ἤπειρος. |
| πέρβια | — | Σέρβια. |
| ψαλλίδιον | 12 | ψαλίδιον· |
| ἤδη εἰληφεῖα | — | ἤδη εἰληφυῖα. |
| καλεῖ. ϗ ἐν ταῖς παροιμίαις | 13 | καλεῖ, ϗ ἀκρίβειαν τὴν φειδωλότητα. ϗ ἐν ταῖς παρ: |
| πάντες μὲν οἱ ποταμοὶ, ἣν πρόσω τῶν πηγῶν ὦσι | 15 | πάντες μὲν γὰρ οἱ ποταμοὶ, ἣν πρόσω τῶν πηγῶν ἄποροι ἆσι. |
| παραμένω | 16 | παραμεύω. |
| Ἀποθαίνα. Ἀποθέτω. | 18 | ὀβελιςέαι ϗ αἱ δύο αὗται περίοδοι. |

)(

| Παροράματα. | Σελ. | Ἀντί. |
|---|---|---|
| τὸ ἀπέκαμα, ἀντὶ τοῦ Ἀπέκαμον, ἐξειργασάμην, παρὰ τὸ, κάμνω, τὸ ἐργάζομαι | 19 | τὸ δεύτερον τοῦτο, Ἀπέκαμα, ὁ ἀόριστος ἐστὶ τοῦ, κάμνω, τὸ ἐργάζομαι. |
| ἀρέγει φησὶν ἡ συνήθ: | 21 | Ὀβελιστέα καὶ αὕτη ἡ περίοδος. |
| ἀργῆται | — | ἀργῆσαι. |
| Ἀρέντα παρὰ τοῖς ἀρ: | 22 | Ἀρέντα δὲ παρὰ τοῖς ἀρ: |
| ἄρτημα. ἀρχίδια | 26 | ἄρτυμα. ἀρχείδια. |
| Δ. ὁ Κοραῆς | 32 | Α. ὁ Κοραῆς. |
| ἂς | — | Ὀβελιστέα· (ὅρα ἐν τῷ τέλει) |
| ἥ πες καλῶς Δ: ὁ Κοραῆς | — | ἥπερ καλῶς ὁ Κοραῆς. |
| (σελ: πβ. | — | (αὐτοσχ: σοχ: σελ: πβ). |
| ἀντὶ τοῦ βαΰζει. παρὰ τοῖς. | 35 | Βαΰζει. ὅπερ παρὰ τοῖς. |
| (αἰδ:) | 37 | (εἰδυλ: ά) |
| Αἰωλικὴν | 38 | Αἰολικὴν. ὡς καὶ ἐν τοῖς ἔμπροσθεν (Αἰωλικῶς, Αἰωλεῖς, ἀντὶ Αἰολικῶς, Αἰολεῖς) |
| Τρεῖα αἰγίδια | 48 | Τρία αἰγίδια. |
| ἀπὸ τῆς μάχης ἀναχωρεῖν | 64 | Ἐκ τῆς μάχης ἀποχωρεῖν. |
| Τῆς ἐν τῷ ζεύγειν | 68 | Τῆς ἐν τῷ ζεύγει. |
| Θέτω | 71 | ἄχρηστος καὶ αὕτη ἡ περίοδος |

| Παροράματα. | Σελ. | Ἀντὶ. |
| --- | --- | --- |
| Κίτριν. - - - - | 72 | Κίτρινη. |
| Ἦνθ' ἀ τῷ Βούλοιο - | 77 | Ἦνθ' ἁ τῶ ὑβούλοιο. |
| Ἐπιχωριάζει παρά τε τοῖς | 78 | Ἐπιχωριάζει τοῖς τε Ἀσιατικοῖς |
| οἱ πλεῖςοι κατ' ἄγ - | 80 | Οἱ πλεῖςοι δὲ κατ' ἄγνοιαν |
| (Γραπτ: ἴσως Κωλιασμ) | 87 | (γραπτέον Κωλεασμός) |
| μετὰ δὲ Καρακάλλαν - | 94 | μετὰ δὲ τὸν Καρακάλλαν. |
| τοῦ τῇ συνηθ: ἀγν: Λιάζω | 104 | τοῦ γὰρ τῇ σ: ἀγ: Λιάζω, |
| οἱ Ἰταλοὶ ἐκλατινίσαντες τὴν ἡμετέραν λέξιν. | 116 | Καὶ οἱ Ἰταλιῶται ἐκλατινίσαντες τὴν ἡμετ: ταύτην λέξιν. |
| Ὁμάδαις - - - - | 129 | Ὁμάδες. |
| προσάγεται - - - | 132 | προσάγετε. |
| πάλλω, παλῶ, ἔπηλα | 135 | πάλλω, παλῶ, ἔπαλον. |
| πᾶν τὰ πρόβατα - - | — | πὰν τὰ πρόβατα. |
| ἔξωνοϐμένϐ. —. πριτζιαῖς | 148 | ἔξωθεν νοϐμένϐ — πρητζιαῖς. |
| Ποιμενικὸν μετερχομένϐς β: | 149 | ποιμενικῷ συζῶντας βίῳ |
| Οἰομένων τὴν Κασπίαν. - | 154 | ἅτε οἰομένων τὴν Κασπίαν. |
| χιόσιν ἀενναώς λευκ: - | 155 | χιόσιν ἀενναώς καὶ πάγοις λευκ: |
| πάνυ καλῶς Θεόκριτος. | 156 | πάνυ καλῶς ὁ Θεόκριτος |
| μεγάλη Ἁρμενία - - | 157 | μεγάλης Ἁρμενίας |
| Νόβας Ζέμλιας, λεγ: - | 159 | Νόβα Ζέμλια, λεγομένης |
| Ταύτη ὑπόληψις - | 164 | αὕτη ὑπόληψις. |
| (γραπτέον ἴσως δαίρει.) - | 169 | (γραπτέον δαίρει) |

| Παροράματα. | Σελ. | Ἀντὶ. |
|---|---|---|
| Τοῦ Διονυσίȣ ναμείȣ - - | 177 | Τοῦ Διονυσίȣ ταμείȣ. |
| ἀντὶ τοῦ, Σησάμη - - | — | ἀντὶ τοῦ, Σήσαμον. |
| ὑμεῖς δὲ ἀνέςημεν - - | 180 | ἡμεῖς δὲ ἀνέςημεν. |
| ψευδονήμων - - - - | 183 | ψευδωνύμων. |
| Καὶ ἐν τοῖς δύο γειτ: - | 184 | καὶ αἱ ἐν τοῖς δύο γειτ: |
| ὁ κίων, - - - - - - | — | ὁ ςρογγύλος κίων. |
| καθὰ καὶ Εὐδοκία - - | — | καθά φησι καὶ Εὐδοκία. |
| Ἐσφύκωντο - - - - | 189 | Ἐσφήκωντο. |
| Διὰ τὸν βίον αὐτοὺς ἐν τῷ τότε ἄγριον μετερχομένȣς - - - - - | 193 | Διὰ τὸ, ἄγριον αὐτοὺς ἐν τῷ τότε διάγοντας τὸν βίον. |
| τάξε τὸ πῶς ἔσαι σὸ - | 199 | τάξε το, πῶς ἔσαι σὸ. |
| τὰ ἐκ Δρυὸς σανίδων. - | 201 | τὰ ἐκ δρυΐνων σανίδων. |
| τορεύω ῥήματος. - - | 203 | τορεύω καὶ τορνεύω ῥήματος. |
| Χρῆται ἀντὶ τοῦ λίαν - | 206 | χρῆται αὐτῇ ἀντὶ τοῦ λίαν |
| ἐκφέρειν τῷ τὰ - - | 207 | ἐκφέρειν τῷ τ̅. |
| τέμπλα - - - - - | 209 | †. τέμπλα. |
| τοῦ κοινῶς - - - - - - | —— | τὸ κοινῶς. |
| Ἔλεγον γὰρ Αἰωλεῖς - | 210 | Ἔλεγον γὰρ καὶ Αἰολεῖς. |
| Καὶ κεῖται ἡ Ἡλιȣπολις | 211 | Κεῖται δὲ ἡ Ἡλιούπολις. |

| Παροράματα. | Σελ. | Ἀντί. |
| --- | --- | --- |
| ἐυθομήκοντα. - - - | —— | ἑβδομήκοντα. |
| τανῦν τὸ φιλεύω - | 215 | τανῦν δὲ τὸ φιλεύω. |
| καθὰ Ξενοφῶν ἔφη. | 216 | καθὰ καὶ Ξενοφῶν ἔφη. |
| χλεμιτέζει. - - | 219 | χλεμετίζει καὶ χλεμιτάει. |
| ἀναδιδόμενοι καπνοὶ - | 221 | ἀναδιδόμενοι ἀτμοί. |
| ἔχασα. μετοχὴ χαμένος | 226 | ἔχασα. χάνομαι, χαμένος. |
| δοκεῖ τὸ χάνδαξ. - | —— | δοκεῖ δὲ τὸ χάνδαξ. — |
| καὶ παρὰ Λόγγῳ - | 228 | καὶ παρὰ τῷ Λόγγῳ. |
| ἐλλογιμιώτατος 212 — | —— | ἐλλογιμώτατος |
| μὴ προσειπὰν τὶς ᾗ ποτε | —— | μὴ προσειπὼν, τίς, καὶ πότε. |
| ἄλῳ τῳ - - - - | 234 | ἄλλῳ τῳ. |
| ἡ ποτὲ πολυανθρωπεία. | 246 | ἡ ποτὲ πολυανθρωπία. |
| (Τόμσ τὰ - - - | 247 | (Γόμσ τὰ. |
| ἐπιβάλλει δε ἡ Κόρκυρα καὶ ἐπὶ τὴν Χαονίαν | 249 | Ἐπιβάλλει δὲ ἡ Κόρκυρα ἐπὶ τὴν Θεσπρωτίαν πλεῖον, ἢ ἐπὶ τὴν Χαονίαν. |
| ὡς ἀπὸ τῶν Θεκυδίδε κατιόντων - - - | 250 | ὡς ἀπὸ τοῦ Θεκυδίδε εἰκάζειν ἔχομεν. |
| κατὰ δὲ τὴν χρῆσιν - | 253 | κατὰ δὲ τὴν νῦν χρῆσιν |
| κατὰ νῆσον Γωανν: - | 260 | κατὰ τὴν νῆσον Ἰωαννίνων |
| παρὰ τῷ Ἀθηνῶν Μελιτ: | 268 | παρὰ τῷ αὐτῷ Μελετίῳ. |

| Παροράματα. | Σελ. | Ἀντὶ. |
|---|---|---|
| εἰσὶ δισκίνητοι· - - - | 268 | εἰσὶ δυσκίνητοι. |
| ἀποσμάσματα. - - - | 307 | ἀποσπάσματα |
| Ὡ'ς ὁ δρασόμενος - | 308 | Ὡ'ς ὁ δρασσόμενος |
| καὶ τετράμηνες - - | 310 | καὶ τετράμηνος |
| ἡ ἀναισχυντία καὶ - - | 311 | ἡ ἀναισχυντία· καὶ |
| ὁ δὲ Σϐϊάδας - - - | 316 | ὁ δὲ Σϐΐδας |
| νὰ τὸ μάθω - - - - | —— | νὰ τὸ μάθω ἀπὸ ἐσέ |
| τὰ κατ᾽ ἐμὲ Φίλτατα - | 339 | τὰ κατ᾽ ἐμὲ Φίλτατε |
| τὼ εἴδωλα - - - - | 344 | τὰ εἴδωλα |

Le souvenire d'amitie.

par Constantin

de Heinau

[illegible]

le 20 de Decembre

26
24
81

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000050795